[1] Defective verb, other tenses being supplied by other verbs.

[2] **Dative of means**, instead of accusative. This is also commonly used with βάλλω.

389. **NOT ALL DEAD YET**

ὁ δὲ ἀδολέσχης (*garrulous*) τοιοῦτός ἐστιν οἷος, ὃν μὴ γιγνώσκει, τούτῳ παρα-καθ-εζόμενος (*sit beside*) ἐγγὺς πρῶτον μὲν τῆς ἑαυτοῦ γυναικὸς εἰπεῖν ἐγκώμιον (what does the sound suggest?). εἶτα ὃ τῆς νυκτὸς εἶδεν ἐν-ύπνιον (compare HYPNOTIC), τοῦτο δι-ηγήσασθαι (*narrate*). εἶθ' ὧν εἶχεν ἐπὶ τῷ δείπνῳ (*dinner*) ἕκαστα δι-εξ-ελθεῖν· εἶτα δὲ προ-βαίνοντος τοῦ πράγματος λέγειν, ὡς πολὺ χεί-ρονές εἰσιν οἱ νῦν ἄνθρωποι τῶν ἀρχαίων· καὶ ὡς ἄξιος (*good value*, that is, *cheap*) γέγονεν ὁ σῖτος ἐν τῇ ἀγορᾷ· καὶ ὡς πολλοὶ ἐπι-δημοῦσι (*be in town*) ξένοι· καὶ εἰ ποιήσειεν ὁ Ζεὺς ὕδωρ πλεῖον, τὰ ἐν τῇ γῇ βελτίω ἔσε-σθαι· καὶ ὡς χαλεπόν ἐστι τὸ ζῆν (*life*)· καὶ ἐὰν ὑπο-μένῃ (*endures*) τις αὐτόν, οὐδέποτε ἀπο-στήσεται.

Ζεύς

Zeus was the supreme god of the universe.

Theophrastus, *Characters*, III.

390. Word-formation. Reference has already been made (§ 210) to certain ways in which Greek technical terms originated. Frequently the word as then used still applies. The Greeks would understand us if they heard us speak of *arithmetic, ethics, dialectics, oligarchy.*

Sometimes, however, the idea has changed, while the word has remained the same. Reference has been made to *scene* (§ 35) and *orchestra* (§ 163). *Economy* to the Greek was restricted to the house but to-day covers a very wide range of management.

Again, modern inventions have introduced ideas un-known before and terms with meanings previously impossible. *Hydrostatic* might have been intelligible to the ancient Greek, but *static* in the radio is a coinage of very recent date, whose meaning would be unintelligible to one unfamiliar with radio. At times these new adaptations of Greek words are in accord with the original meaning and an ancient Greek would have guessed what *telephone* or *photograph* meant without really understanding the things thus labeled. At other times the adaptations have done more or less violence to the original meaning and no Greek could have any idea of the modern meaning of his word *museum* (once a temple dedicated to the Muses). He would have shuddered to hear of such hybrids as watt*meter* or speed*ometer*, just as he would have required time to accustom himself to socio*logy* or *auto*mobile.

Even words that are now venerable and apparently good Greek may be of non-Greek origin. *Metaphysics* would have meant nothing to Aristotle. The Romans used the term to describe that part of Aristotle's works which came after (μετά) his "Physics." Later, it came to describe works of a similar nature and even a distinct phase of philosophy.

Boston Museum of Fine Arts.

COIN OF ELIS, ABOUT 400 B.C.; HEAD OF ZEUS, EAGLE OF ZEUS

LESSON LXIII

AORIST ACTIVE AND MIDDLE OF τίθημι AND ἵημι

τέκνον, ἢ ταύτᾶν ἢ ἐπὶ ταύτᾱς.
Son, come home with your shield or on it.[1]

---

391. τίθημι in the Aorist. (*a*) Learn the inflection of
τίθημι in the aorist active and middle (§ 535). Note
that first aorist forms occur in the singular of the indicative
active. Note also the general similarity, apart from the
stem (θε-, not τιθε-), between the second aorist and the
present, except in the second person singular indicative
middle, in the second person singular imperative active
and middle, and in the infinitive active.

(*b*) Inflect θείς (like τιθείς).

392. ἵημι in the Aorist. Learn the inflection of ἵημι in
the aorist active and middle (§ 537). Note the general
similarity to the aorist of τίθημι as well as to the present
of ἵημι.

393. Supplementary Participle. A participle often *supplements and completes* the idea expressed by the main verb.
This is called the *supplementary participle*.[2]

(*a*) Such is the participle used *in indirect discourse* with
verbs meaning *to see, hear, learn, know, show, appear,* and
ἀγγέλλω *announce* (§ 214).

---

[1] Plutarch, *Moralia,* 241 F. Literally: *Son, (bring) this or (come) on this.*
These were the words of a Spartan mother as she handed the shield to her
son. It illustrates admirably both Laconic brevity and Laconic heroism.
Dialectic; hence ταύτᾶν for ταύτην, ταύτᾱς for ταύτης.

[2] What other uses of the participle have you had?

212

(b) It is also used, but *not in indirect discourse*, with τυγχάνω *happen*, and words meaning *to begin, cease, continue, rejoice* :

οὗτος παρ-ὼν ἔτυχε   *this man happened to be present* ;
παύεται διώκων   *he stops pursuing*.

394.   **VOCABULARY**

ἔτος, -ους, τό : *year*.

ἐχθρός, -οῦ, ὁ : *personal enemy*.

κεῖμαι, κείσομαι : *lie, be placed*. Freq. instead of τέθειμαι.

νέμω, νεμῶ, ἔνειμα, νενέμηκα, νενέμημαι, ἐνεμήθην : *distribute, assign*.

σπουδαῖος, -ᾱ, -ον : *earnest, zealous, serious, weighty*.

σπουδή, -ῆς, ἡ : *haste, zeal*. Cf. σπεύδω.

στέφανος, -ου, ὁ : *crown, wreath*. STEPHEN.

τυγχάνω, τεύξομαι, ἔτυχον, τετύχηκα : *hit, attain,* with G.; *happen*, with suppl. part.

395.   **EXERCISES**

(a) Translate :

1. οὐκ ἔτη πολλὰ ἔτυχε στέφανον ἔχων.   2. ὥστε πᾶσαν τὴν ὁδὸν ἔσπευδε καὶ οὐ δι-έτρῑβεν εἰ μὴ σίτου ἕνεκα ἢ ἄλλου τινὸς σπουδαίου.   3. ἔπειτα οὐδενὸς ἀντι-λέγοντος οἱ ἄλλοι προσ-έθεντο ταύτῃ τῇ βουλῇ.   4. ἀφ-εὶς δὲ τοὺς ἐχθροὺς τούτῳ μόνῳ συμ-βουλεύσεται.   5. σπουδῇ τοίνυν πολλῇ τὰ ὅπλα εἰς τὰς ἁμάξᾱς ἔθεμεν.   6. καὶ γὰρ ἔργῳ δῆλον ἐποίει ὅτι οὐκ ἄν ποτε προ-εῖτο, ἐπεὶ ἅπαξ φίλος αὐτοῖς ἐγένετο.   7. ἐπαύσατο θύων, ἐπεὶ ὁ ἐχθρὸς ἀφ-ίκετο.   8. τὴν δίκην ἔφη βούλεσθαι ἐπι-θεῖναι τοῖς ἐχθροῖς. 9. ἡ δὲ γυνὴ ἀπ-ήγγειλε τοὺς ἄνδρας τὸν τάφον ἀ-τῑμάζοντας. 10. νείμᾱς οὖν τὰ ὅπλα ὁ λοχαγὸς ἐκέλευσε τοὺς ἄνδρας ἐπι-θέσθαι.

(b) Write in Greek :

1. He makes an agreement (συν-τίθεμαι) with them that he will attack with all his force.   2. While they were

throwing (with) stones, he saw a man ride by.   3. The Greeks are letting the man go (ἀφ-ίημι) because they do not wish to put him to death.   4. So much farther (*longer*) was the boy able to throw than his father.

396.   AB HOSTE DOCERI

ἀλλ' ἀπ' ἐχθρῶν δῆτα (*indeed*) πολλὰ μανθάνουσιν οἱ σοφοί.

Aristophanes, *Birds*, 375.

397.   A PATRIOT

Οὗτος 'Αδειμάντου κείνου (ἐ κ ε ί ν ο υ) τάφος, οὗ διὰ βουλὰς
'Ελλὰς ἐλευθερίας ἀμφ-έθετο στέφανον.

Simonides.

398.   UNDYING FAME

Εἰ τὸ καλῶς θνῄσκειν[1] ἀρετῆς μέρος ἐστὶ μέγιστον,
    ἡμῖν ἐκ πάντων τοῦτ' ἀπ-ένειμε τύχη (*Fortune*).
'Ελλάδι γὰρ σπεύδοντες ἐλευθερίαν περι-θεῖναι
    κείμεθ' ἀ-γηράντῳ (*ageless*) χρώμενοι (*enjoying*) εὐ-λογίᾳ.

Simonides.

399.   LIFE'S TRAGEDY

Δωδεκ-ετῆ τὸν παῖδα πατὴρ ἀπ-έθηκε Φίλιππος
    ἐνθάδε (*here*), τὴν πολλὴν ἐλπίδα, Νῑκοτέλην.

Callimachus.

400.   PLAY THE GAME

σκηνὴ πᾶς ὁ βίος καὶ παίγνιον (*game*)· ἢ μάθε παίζειν
τὴν σπουδὴν μετα-θείς, ἢ φέρε τὰς ὀδύνας (compare AN-
    ODYNE).

Greek Anthology.

---

[1] Infinitive as subject.   See page 133, note 1.

401.   **THE SOBER SECOND THOUGHT**

οὔτ᾽ ἐκ χερὸς μεθ-έντα καρτερὸν (*mighty*) λίθον
ῥᾷον[1] κατα-σχεῖν, οὔτ᾽ ἀπὸ γλώσσης (*tongue*) λόγον.

Menander, fragment.

IN OLD STAMBOUL

The obelisk of Theodosius marks the site of the ancient Hippodrome, center
of regal magnificence and of popular frenzy through the ages.

402. Word-formation. In passing down the ages, words
often become corrupted in form but retain approximately
their original meaning. *ἐπίσκοπος* *overseer* became the
title of an officer of the church and through careless speech
passed into *bishop*. *ἐλεημοσύνη* became Latin *eleemosyna*,
then Anglo-Saxon *aelmesse*, finally *alms*. *σκίουρος* *shady-
tailed* became the Latin *sciurus*, *sciurellus*, and today is
squirrel. Byzantium was *the city* through a long period
and people spoke of going *εἰς τὴν πόλιν* until finally it
was called *Stamboul*. Stamboul is now the native section
of *Constantinople*, Constantine's *πόλις*. *ἡ καλὴ πόλις* has
become *Gallipoli* of Anzac glory.

---

[1] Comparative neuter nominative singular of ῥᾴδιος.

LESSON LXIV

PRESENT OF δίδωμι

λαμπάδια ἔχοντες διαδώσουσιν ἀλλήλοις.
Having torches, they will pass them to each other.[1]

---

403. δίδωμι in the Present. (*a*) Learn the inflection of δίδωμι in the present system in all three voices (§ 535). Note its great similarity to τίθημι, with o replacing ε.

(*b*) The present participle, διδούς, is inflected like λιπών except for the nominative masculine singular. Write out its inflection. Compare with paradigm (§ 514, *f*).

404. Deliberative Subjunctive. The first person of the subjunctive may be used in *questions of appeal*, where some one asks himself or another *what he shall do* or *say:*[2]

τί πράξωμεν ; *what are we to do?*

The negative is μή :

μὴ φύγωμεν ; *are we not to flee?*

405.   **VOCABULARY**

ἀπο-δίδωμι : *give back, pay what is due;* mid., *sell.* APODOSIS.

ἄρα, post-pos. partic : *then* (inferential).

ἆρα, interrog. particle indicating an impatient question: *then.*

δί-δωμι, δώσω, ἔδωκα, δέδωκα, δέδομαι, ἐδόθην : *give.* Cf. δῶρον. DOSE.

ἕκαστος, -η, -ον : *each.*

εὔ-νους, εὔ-νουν : *well-intentioned, well-disposed.* Cf. εὖ and νοῦς.

καί-περ, concessive particle usually accomp. by a participle : *although.*

μή-ποτε, neg. adv.: *not ever, never.*

οὔ-ποτε, neg. adv. : *not ever, never.*

---

[1] Plato, *Republic,* I. 328 A.
[2] What other uses of the subjunctive have you had?

216

406. **EXERCISES**

(a) Translate:

1. τέλος δὲ Κῦρος δίδωσιν αὐτῷ εἰς ἑξα-κισ-χῑλίους στρατιώτᾱς καὶ ἓξ μηνῶν μισθόν. 2. τί φῶ τοῖς ἐχθροῖς; 3. ἀλλὰ ἐν τοιούτῳ καιρῷ φοβοίμην ἂν εἰς τὰ πλοῖα ἐμ-βαίνειν ἃ ἡμῖν διδοίη. 4. ὁ δὲ καίπερ ἐθέλων ἀπο-διδόναι οὐκ ἐδυνήθη. 5. ἆρα αἰτήσωμεν ἡγεμόνα, ἐὰν μὴ οὗτος πλοῖα διδῷ; 6. εὖνοι ἄρ᾽ ὄντες τοῖς Ἕλλησι τὰ ἐπιτήδεια ἀπ-εδίδοσαν. 7. ὑπ-ισχνεῖται δὲ στέφανον κάλλιστον ἑκάστῳ δώσειν. 8. ὁπότε δέ τινα εὕροι χρήματα πολλὰ ἐκ τοῦ δικαίου λαμβάνοντα, οὔ-ποτε οὐδένα ἀφ-ῃρεῖτο, ἀλλ᾽ ἀεὶ προσ-εδίδου. 9. ἀλλὰ τί πράξωμεν; δι᾽ ἐρήμης γὰρ χώρᾱς ἐλαύνοντες οὔτ᾽ ἀγορὰν ἕξομεν οὔτε τὸν ἡμῖν τὰ ἐπι-τήδεια διδόντα.

(b) Write in Greek:

1. I fear that he may take me (and) inflict punishment (on me). 2. The ruler happened to release (ἀφ-ίημι) your (plural) personal enemies. 3. Those men on the wall have not yet stopped throwing stones at the attackers. 4. We know that the man is (of) thirty years (old). 5. Whatever he happened to have he distributed among his friends.

407. **OUT OF THE FRYING-PAN**

ἄνθρωπόν τις ἀπο-κτείνᾱς ὑπὸ τῶν ἐκείνου συγ-γενῶν ἐδι-ώκετο. κατὰ δὲ τὸν Νεῖλον ποταμὸν γενομένῳ λύκος (wolf) αὐτῷ προσ-έρχεται. φοβηθεὶς οὖν ἀν-έβη ἐπὶ δένδρον παρὰ τὸν ποταμὸν καὶ ἐκρύπτετο (compare CRYPTIC) ἐκεῖ. οὕτω δὲ δια-κείμενος ἔχιν (adder) εἶδεν προσ-ερχόμενον, ὥστε εἰς τὸν ποταμὸν ἑαυτὸν καθ-ῆκε. ἐν δὲ τούτῳ ὑπο-δεξάμενος αὐτὸν κατ-έφαγε (devoured) κροκόδειλος.

Adapted from Æsop, 48

408.   THE PERSIAN COURIER POST

τούτων δὲ τῶν ἀγγέλων ἔστιν οὐδὲν ὅ τι θᾶττον παρα-
γίγνεται. λέγουσι γὰρ ὡς ὅσων ἂν ἡμερῶν ᾖ ἡ πᾶσα ὁδός,
τοσοῦτοι ἵπποι τε καὶ ἄνδρες δι-εστᾶσι,[1] κατὰ τὴν ἑκάστης
ἡμέρᾱς ὁδὸν ἵππος τε καὶ ἀνὴρ τεταγμένος, οὓς οὔτε νιφετός
(*snow*), οὐκ ὄμβρος (*rain*), οὐ καῦμα (*heat*), οὐ νὺξ κωλύει
μὴ [2] ποιῆσαι τὸν προ-κείμενον ἑαυτῷ δρόμον τὴν ταχίστην.[3]

THE "THESEUM"

The "Theseum," which lies northwest of the Acropolis, is the best pre-
served of the ancient Greek temples. It was probably the temple of
Hephæstus, god of fire and forge, and not a shrine of Theseus.

ὁ μὲν δὴ πρῶτος δραμὼν παρα-δίδωσι τὴν ἀγγελίᾱν τῷ
δευτέρῳ, ὁ δὲ δεύτερος τῷ τρίτῳ· τὸ[4] δ᾽ ἐντεῦθεν ἤδη κατ᾽
ἄλλον δι-εξ-έρχεται παρα-διδομένη, ὥσπερ Ἕλλησιν ἡ
λαμπαδη-φορίᾱ (*torch-race*), ἣν τῷ Ἡφαίστῳ ἐπι-τελοῦσιν
(*celebrate*).

Adapted from Herodotus, VIII. 98.

---

[1] Second perfect of δι-ίστημι.

[2] μή is redundant. Page 96, note 1.

[3] An English version of a portion of this sentence is inscribed on the front
of the New York Post Office at 33rd Street and Eighth Avenue.

[4] Adverbial accusative (§ 270).

409. Word-formation. (*a*) Compound nouns and adjectives are formed by uniting to a substantive stem or to a verb stem with substantive suffix:

(1) A substantive or an adjective

> φωσ-φόρος   *bringing light*, PHOSPHORUS;
> μητρό-πολις   *mother-city*, METROPOLIS;
> μόν-αρχος   MONARCH.

(2) A verb stem

> μῑσ-άνθρωπος   *man-hating*, MISANTHROPE;
> ἀρχι-τέκτων   *chief artificer*, ARCHITECT.

(3) A numeral, a preposition, or an adverb

> πέντ-αθλον   PENTATHLON;
> ἔξ-οδος   EXODUS;
> εὐ-λογίᾱ   EULOGY.

(4) An inseparable prefix

> ἀν-αρχίᾱ   *lack of a leader*, ANARCHY;
> ἡμι-σφαίριον   HEMISPHERE.

(*b*) Compounding of similar words is constantly occurring in English, particularly in technical terms: *pro-ethnic*, *hyper*-acid, *anti*-saloon (a familiar hybrid), *dec-athlon*, Franco-*phile*. Greek prepositional prefixes are exceptionally common in English, largely usurping the functions of the native Anglo-Saxon prefixes (see Kent, *Language and Philology*, page 90).

LESSON LXV

AORIST ACTIVE AND MIDDLE OF δίδωμι

οὐ παντὸς ἀνδρὸς εἰς Κόρινθόν ἐσθ' ὁ πλοῦς.
Not every man may visit Corinth.[1]

410. δίδωμι in the Aorist. (*a*) Learn the inflection of
δίδωμι in the aorist active and middle (§ 535). Note the
general resemblance to the corresponding forms of τίθημι.
Note also that, as ἔθεμεν, κ.τ.λ., parallels ἐτίθεμεν, κ.τ.λ.;
so ἔδομεν, κ.τ.λ., parallels ἐδίδομεν, κ.τ.λ.

Note the similarity in form between θές, ἕς, δός, and
between θοῦ, οὖ, δοῦ.

(*b*) Inflect δούς (like διδούς).

411. Unattainable Wishes.[2] (*a*) εἴθε or εἰ γάρ with the
imperfect indicative expresses an *unattainable wish* in *present*
time; with the *aorist indicative*, an *unattainable wish* in
past time:

εἴθε ταῦτα ἔπραττον   *if only they were doing this;*
εἴθε ταῦτα ἔπραξαν   *if only they had done this.*

The negative is μή.

(*b*) ὤφελον (aorist of ὀφείλω *I owe*) with a *present* or
aorist infinitive also expresses an *unattainable wish* in *present*
or *past* time:

ὤφελε παρ-εῖναι   *would that he were present;*
ὤφελες ταῦτα πρᾶξαι   *would that you had done this.*

---

[1] Greek maxim.
[2] How do you express a possible wish in the future? See § 192, *a*.

412.   **VOCABULARY**

δίς, adv.: *twice.* Cf. **δύο.**
DISSYLLABIC.

μήν, post-pos. particle: *indeed, certainly.* Cf. **μέν.**

ὤφελον, sec. aor. of ὀφείλω, *owe:* most common as a device for expressing unattainable wishes in present or past time, with inf.

πλέω, πλεύσομαι, ἔπλευσα, πέπλευκα, πέπλευσμαι: *sail.*

πλοῦς, -οῦ, ὁ: *sailing, voyage.* Cf. **πλέω, πλοῖον.**

413.   **EXERCISES**

(a) Translate:

1. ὤφελον μὴ ἐν-νοῆσαι ἡμᾶς ἀ-τῑμάζειν.   2. εἴθε κέρδος νομίζοι, ἐὰν ἅμα καὶ Σωκράτης παρ-ῇ.   3. εἰ γὰρ μὴ ἐσκέψατο ὅπως κρατήσει ἀντὶ τοῦ ἀδελφοῦ.   4. ὤφελε μὴ τὴν τοῦ ἐχθροῦ κεφαλὴν ἀπο-τεμεῖν.   5. ἀκούσαιεν ὑμᾶς εὔ-νους ὄντας τοῖς Ἕλλησιν.   6. εἰ γὰρ τοσαύτην δύναμιν εἶχον.

(b) Write in Greek:

1. Are we not to pay back what we owe?   2. If Cyrus should give him pay for six months, he would enlist the mercenaries.   3. All know that we are giving a crown to each soldier.   4. What am I to say to my opponents?

414.   **A HARD CUSTOMER**

The scene of this lively dialogue of Lucian's, only a portion of which is here printed, is laid at the farther shore of the Stygian Lake. The speakers are Charon, ferryman of the dead, Menippus, famous Cynic philosopher, and Hermes, who numbered among his many and varied functions that of official escort to the departed. The wrangle that Lucian here reports is held to be typical of the Greeks, who have ever been passionately fond of argument. Incidentally,

Greek πορθμεῖς are still plying their trade and still enjoy-
ing many a lively encounter with their passengers.

HERMES PRESENTING A WOMAN TO CHARON

This picture is a Greek vase painting of the fifth century.   Notice the winged
souls of the dead flying around.

XAP.   Ἀπό-δος, ὦ κατάρᾱτε (*scoundrel*), τὰ πορθμεῖα.

MEN.   Βόᾱ (*bawl*),·εἰ τοῦτό σοι, ὦ Χάρων, ἥδῑον.

XAP.   Ἀπό-δος, φημί, ὅτι σε δι-επορθμεύσαμεν.

MEN.   Οὐκ ἂν λάβοις παρὰ τοῦ μὴ ἔχοντος.

XAP.   Ἔστι δέ τις ὀβολὸν (*thrippence* [1]) μὴ ἔχων ;

MEN.   Εἰ μὲν καὶ ἄλλος τις οὐ γιγνώσκω, ἐγὼ δ᾽ οὐκ ἔχω.

XAP.   Καὶ μὴν ἄγξω (*throttle*) σε νὴ τὸν Πλούτωνα [2] (*by
        Pluto*), ὦ μιαρέ (*loathsome*), ἢν μὴ ἀπο-δῷς.

MEN.   Κἀγὼ (= καὶ ἐγὼ) τῷ ξύλῳ σου παίσᾱς δια-λύσω
        τὴν κεφαλήν.

XAP.   Μάτην (*in vain*) οὖν ἔσει πεπλευκὼς [3] τοσοῦτον
        πλοῦν.

---

[1] Not an exact translation, but convenient.   [2] God of the underworld.
  [3] The future perfect is not often found.   This is one way of expressing the
idea.

MEN. Ὁ Ἑρμῆς ὑπὲρ ἐμοῦ σοι ἀπο-δότω, ὅς με παρ-έδωκέ σοι.

XAP. Οὐδὲν ταῦτα[1] πρὸς τὰ πορθμεῖα · τὸν ὀβολὸν ἀπο-δοῦναί σε δεῖ · οὐ θέμις (right) ἄλλως γενέσθαι.

MEN. Οὐκοῦν ἄπ-αγέ με πάλιν εἰς τὸν βίον.

XAP. Χαρίεν (jolly) λέγεις, ἵνα καὶ πληγὰς (compare πλήττω) ἐπὶ τούτῳ παρὰ τοῦ Αἰακοῦ[2] προσ-λάβω.

MEN. Μὴ ἐν-όχλει (bother) οὖν.

XAP. Τί ἐν τῇ πήρᾳ (wallet) ἔχεις ;

MEN. Θέρμους (beans), εἰ θέλεις, καὶ τῆς Ἑκάτης[3] τὸ δεῖπνον (dinner).

XAP. Πόθεν τοῦτον ἡμῖν, ὦ Ἑρμῆ, τὸν κύνα[4] (dog) ἤγαγες ; οἷα δὲ καὶ ἐλάλει (chattered) παρὰ τὸν πλοῦν τοὺς ἐπι-βάτας (compare βαίνω) ἐπι-σκώπτων (mocking at) καὶ μόνος ᾄδων (singing) οἰμωζόντων (groaning) ἐκείνων.

EPM. Ἀ-γνοεῖς (compare AGNOSTIC), ὦ Χάρων, ὁποῖον ἄνδρα δι-επόρθμευσας, πάνυ ἐλεύθερον ; οὐδενὸς αὐτῷ μέλει. οὗτός ἐστιν ὁ Μένιππος.

XAP. Καὶ μὴν ἄν σε λάβω ποτέ ——

MEN. Ἂν λάβῃς, ὦ βέλτιστε · δὶς δὲ οὐκ ἂν λάβοις.

<div align="right">Lucian, Dialogues of the Dead, 22.</div>

415. Word-formation. Verbals in -τος give rise to many English nouns :

ἀντι-δίδωμι	give for, ἀντίδοτον	ANTIDOTE ;
ἐπι-τίθημι	place upon, ἐπίθετον	EPITHET ;
κρύπτω	hide, κρυπτός, κρυπτή	CRYPT.

---

[1] As often, ἐστί has been omitted. The expression is stereotyped. Compare the English, *This has nothing to do with.*

[2] One of the judges of the underworld.

[3] Hecate, goddess of the crossroads. Tramps and irreligious scoundrels seem to have helped themselves to the viands offered at her wayside shrines.

[4] A punning reference to the Cynics.

LESSON LXVI

REVIEW

τέχνη δ' ἀνάγκης ἀσθενεστέρα μακρῷ. — *Art is weaker far than need.*[1]

ASSIGNMENTS

416. (*a*) Review the words in § 556, following the method suggested in § 27, *a*. Give principal parts of the verbs.

(*b*) Name and define the Greek words from which are derived: *anathema, bucolic, xylograph, eremite, parenthesis, antidote, monopolist, apostasy, system, hierarchy, dynamite, aerodrome, Nemesis, catholic, pseudograph, dynamometer, diastole, dimorphous.*

(*c*) Add ten words to this list

(*d*) What do the endings of these words suggest: *anarchism, anecdote, euthanasia, polyandry?*

(*e*) Give synopses of the third person singular in present and aorist systems in active and middle voices (where both occur) of *ἵστημι, τίθημι, δίδωμι.* Inflect *στάς, ἱείς, δούς.*

417. **EXERCISES**

(*a*) Complete:

1. *εἴθε ἐμαθ— τοὺς Ἕλληνας τειν— ἄνω πρὸς τὸ ὄρος.*
2. *τί ποιήσωμεν, ἐὰν μὴ τοὺς ἑκατὸν ἄνδρας στειλ—σιν ἡμῖν βοηθησ—;* 3. *οὐχ ὥραν φασὶν ἂν* —— (linking verb) *ὑμῖν ἀ-μελεῖν ὑμῶν αὐτῶν.* 4. *μέγα ἂν* —— (linking

---

[1] Æschylus, *Prometheus,* 514. Compare the English, *Necessity is the mother of invention.*

224

verb) κέρδος, εἰ τύχοιεν αὐτῷ διδ— τοιοῦτον στέφανον.

5. εἰ γὰρ ἔτη πολλὰ δυν—το κρατεῖν τ— ἐναντι— (plural).

6. καίπερ δυν—μενος οὐ μέλλει ἀπο-διδ—.

(b) Write in Greek:

1. The satrap thought that the Greek force might halt there.   2. I would that your son knew how to throw a javelin.   3. All-the-same we rushed at those standing on the wagon.   4. He says that Cyrus would have agreed to this, if no one had happened to deceive him.   5. May they cross (*use participle*) the trench (and) give something to each man.

THE HERÆUM AT OLYMPIA

This is probably the earliest extant temple of purely Greek workmanship. Its columns differ greatly in size, shape, and composition, and it is supposed that they were built one at a time to replace the original wooden ones as these decayed.

LESSON LXVII

τῑμάω. REVIEW OF THE GENITIVE

πάντα ῥεῖ. — *All is flux.*[1]

418. Rules for Contraction. (*a*) Review the principles of contraction in § 127.

(*b*) Rules for contraction of verbs in -αω:

α + an o-sound (o, ω, ου, οι) = ω (ῳ)
α + an ε-sound (ε, η, ει, ῃ) = ᾱ (ᾳ)

An ι in the uncontracted form becomes ι-subscript in the contracted form (note ῳ and ᾳ above).

(*c*) Write out the inflection of the present system of τῑμάω. Compare with paradigm (§ 534).

(*d*) In other systems than the present, α of the stem becomes η, except after ε, ι, or ρ, when it becomes ᾱ :

τῑμάω, τῑμήσω, ἐτίμησα, κ.τ.λ. ;
πειράομαι, πειράσομαι, κ.τ.λ.

419. Forms of the Genitive. Review all genitive endings (§ 544, *b*). What other endings resemble these of the genitive? Where the ending may suggest another case, modifying words and context usually prevent confusion.

420. Uses of the Genitive. Having clearly in mind the forms that indicate a genitive, review the possible uses of the genitive (§ 544, *b*). The Greek genitive has the functions of the Latin genitive and some functions of the

---

[1] Heraclitus. A curious and interesting foreshadowing of the modern theory of evolution.

226

Latin ablative. Genitives may *limit the meaning* of nouns, adjectives, adverbs, or verbs. The major functions, to which may be traced most of the uses, are *possessive, partitive, objective, separative.*

421. **VOCABULARY**

ἅπτω, ἅψω, ἦψα, ἧμμαι, ἥφθην: *lay hold of;* mid., *touch,* with G. Cf. Lat. *aptus.* APSE.

ἐρωτάω, ἐρωτήσω, ἠρώτησα, ἠρώτηκα, ἠρώτημαι, ἠρωτήθην: *ask, inquire.*

μέχρι, conj.: *until.* Sometimes used as a prep. with G.: *up to.*

μηχανάομαι, μηχανήσομαι, ἐμηχανησάμην: *contrive.*

μηχανή, -ῆς, ἡ: *contrivance, device, machine.* Cf. Lat. *māchina.* MECHANICAL.

ὁράω, ὄψομαι, εἶδον, ἑώρᾱκα or ἑόρᾱκα, ἑώρᾱμαι or ὦμμαι, ὤφθην: *see.* PANORAMA, OPTIC.

ῥέω, ῥυήσομαι, ἐρρύηκα, ἐρρύην: *flow.* RHEUMATIC.

τελευτάω, τελευτήσω, ἐτελεύτησα, τετελεύτηκα, τετελεύτημαι, ἐτελευτήθην; *end, finish, die.*

τῑμάω, τῑμήσω, ἐτίμησα, τετίμηκα, τετίμημαι, ἐτῑμήθην: *honor, reward, pay.* Cf. τῑμή.

422. **EXERCISES**

(*a*) Translate :

1. ἀλλὰ μὴν ἠρώτησεν εἰ αὐτοῖς οὐ μέλει ἐκείνης τῆς μηχανῆς. 2. ἀκούσαντες τῆς σάλπιγγος ἵεντο ἄνω κατὰ τὴν φανερὰν ὁδόν. 3. καίπερ εὔνους οὐκ ἦρχε τοῦ λόγου, ὅπερ ἐβούλοντο. 4. τοῦ ἄρχοντος τελευτήσαντος μηχανῶνται ὅπως τεύξονται τῆς εἰρήνης. 5. ἐλθόντες αὖ ἐπὶ τὰς θύρᾱς ἀπ-ῄτησαν μισθὸν τεττάρων μηνῶν. 6. δέονται δέ σου καὶ τοῦτο, ἑκάστῳ τῶν Ἑλλήνων τὰ ἄξια νεῖμαι. 7. τούτων οὖν ἕνεκα Κῦρος μᾶλλον ἐτῑμᾶτο ὑπὸ τῶν Περσῶν ἢ ὁ ἀδελφός.

(*b*) Write in Greek :

1. In five years he will pay back the greater part of the money. 2. Our hope of honor was destroyed by the

orators.   3. Although the danger was very great, the few Greeks were braver than many barbarians.   4. The water does not touch the wood of the gate.   5. The fugitives had provisions for six days.

423. THE EARLIEST EXPLORATION PARTY ON RECORD

ἀφ-ικόμενοι δὲ οἱ Νασαμῶνες καὶ ἐρωτώμενοι εἴ τι ἔχουσι πλέον λέγειν περὶ τῶν ἐρήμων τῆς Λιβύης, ἔφασαν παρὰ

APPLES OF THE HESPERIDES

This metope from the Zeus temple at Olympia shows an episode in Hercules' famous eleventh labor. The hero (in the center) undertook to hold the heavens on his shoulders and sent Atlas to seek the golden apples. Here Atlas is seen returning with the apples while some goddess watches the scene.

ἑαυτοῖς γενέσθαι ἀνδρῶν δυναστῶν (compare DYNASTY) παῖδας, οἳ ἄλλα τε ἐμηχανῶντο ἀνδρωθέντες (compare ἀνήρ) περισσὰ (unusual, odd) καὶ δὴ καὶ ἔπεμψαν πέντε ἑαυτῶν ὀψομένους τὰ ἔρημα τῆς Λιβύης, καὶ εἴ τι πλέον ἴδοιεν τῶν τὰ μακρότατα ἰδόντων. τῆς γὰρ Λιβύης τὰ μὲν κατὰ τὴν βορείᾱν (compare BOREAS) θάλατταν ἀπ' Αἰγύπτου ἀρξάμενοι μέχρι Σολόεντος ἄκρᾱς (Cape), ἣ τελευτᾷ τῆς Λιβύης, παρ-ήκουσι παρὰ πᾶσαν Λίβυες, πλὴν ὅσον Ἕλληνες καὶ Φοίνικες ἔχουσι · τὰ δὲ ὑπὲρ θαλάττης τε καὶ τῶν ἐπὶ θάλατταν

καθ-ηκόντων ἀνθρώπων, θηριώδης (*savage, wild*) ἐστὶν ἡ
Λιβύη · τὰ δὲ ὑπὲρ τῆς θηριώδους ψάμμος (*sand*) τέ ἐστι
καὶ ἄν-υδρος δεινῶς καὶ ἔρημος πάντων. ἐπεὶ οὖν οἱ παῖδες
ἀπο-πεμπόμενοι ὑπὸ τῶν ἡλίκων (*associates*) ἦλθον πρῶτον
μὲν διὰ τῆς οἰκουμένης, ταύτην δὲ δι-εξ-ελθόντες εἰς τὴν
θηριώδη ἀφ-ίκοντο, ἐκ δὲ ταύτης τὴν ἔρημον δι-εξ-ῆλθον τὴν
ὁδὸν ποιούμενοι πρὸς ζέφυρον ἄνεμον, δι-εξ-ελθόντες χώρᾱν
πολλὴν ψαμμώδη μετὰ πολλὰς ἡμέρᾱς εἶδόν ποτε δένδρα ἐν
πεδίῳ ὄντα. καὶ προσ-ελθόντες ἅπτονται τοῦ ἐπ-όντος ἐπὶ
τῶν δένδρων καρποῦ (*fruit*), ἁπτομένοις δ᾽ αὐτοῖς ἐπ-ῆλθον
ἄνδρες μῑκροί, μετρίων (*medium*) ἐλάττους ἀνδρῶν, λαβόντες
δὲ ἦγον αὐτούς · φωνῆς δὲ οὔτε τι τῆς ἐκείνων οἱ Νασαμῶνες
ἐγίγνωσκον οὔτε οἱ ἄγοντες τῶν Νασαμώνων. ἦγον δ᾽
αὐτοὺς εἰς πόλιν ἐν ᾗ πάντες ἦσαν τοῖς ἄγουσιν ἴσοι,
χρῶμα (*complexion*) μέλανες. παρὰ δὲ τὴν πόλιν ἔρρει
ποταμὸς μέγας, ἀφ᾽ ἑσπέρᾱς (compare HESPERIDES) ῥέων
πρὸς ἥλιον ἀνα-τέλλοντα (*rising sun*), ἐφαίνοντο δ᾽ ἐν αὐτῷ
κροκόδειλοι.[1]

Adapted from Herodotus, II. 32.

424. Word-formation. (*a*) Verbs formed by adding
-αω to noun (or adjective) stems denote action of a
nature similar to that expressed by the noun (or adjective).
They usually denote *to do, to be,* or *to have* what the stem
expresses:

τόλμη   *daring,* τολμάω   *be daring, dare;*
νῑκη   *victory,* νῑκάω   *have victory, conquer.*

(*b*) In like manner, form verbs from βοή   *shout,* σῑγή
silence, ἄριστον   *breakfast.*

---

[1] For support to the history involved in this story, see How and Wells's
Commentary on Herodotus, l. c.

LESSON LXVIII

οἶδα. REVIEW OF THE DATIVE

σκαιὸν τὸ πλουτεῖν κἄλλο μηδὲν εἰδέναι.
Wealth without knowledge makes a boor.[1]

425 Inflection of οἶδα. Learn the inflection of οἶδα (§ 542). οἶδα is second perfect with present meaning.

426. Forms of the Dative. Review all dative endings (§ 544, c). Note especially that ι is part of every dative ending.

427. Uses of the Dative. Having clearly in mind the forms that indicate a dative, review the possible uses of the dative (§ 544, c). The Greek dative has the functions of the Latin dative and some functions of the Latin ablative (instrumental and locative). The major functions, to which may be traced all of the uses, are *reference, instrument* or *means,* and *place.*

428. **VOCABULARY**

βίᾱ, -ᾱς, ἡ : *force, violence.* Cf. δύναμις : *force, power.*

δαπανάω, δαπανήσω, ἐδαπάνησα, δεδαπάνηκα, δεδαπάνημαι, ἐδαπανήθην : *spend, waste.*

ἔξω, adv. : *outside.* Cf. ἐκ, ἐξ. EXOTIC.

νῑκάω, νῑκήσω, ἐνίκησα, νενίκηκα, νενίκημαι, ἐνῑκήθην : *conquer, win.*

νίκη, -ης, ἡ : *victory.* EUNICE.

οἶδα, εἴσομαι : *know.*

ὅσος, -η, -ον : sing., *as large as, as much as;* pl., *as many as.*

---

[1] Euripides, fragment. Literally: *It is a loutish thing to be wealthy and to know nothing else.*

230

429. **EXERCISES**

(a) Translate:

1. εἰ δὲ νῑκῴη, εἰδείη ἂν ὅσους χρὴ τῑμᾶν. 2. Τισσαφέρνει δ᾽ ἐνόμιζε πολεμοῦντα Κῦρον ἀμφὶ τὰ στρατεύματα δαπανᾶν. 3. ἐν ταύτῃ τῇ κώμῃ παρ-αγγέλλει Κλεάρχῳ λαβόντι ἥκειν ὅσον ἦν αὐτῷ στράτευμα. 4. ἆρ᾽ ἡμῖν νῑκήσᾱσιν ἀ-δύνατον ἔσται βίᾳ παρ-ελθεῖν; 5. ἀλλ᾽ οἱ ἔξω οὐκ ἀπο-δεδράκᾱσιν· οἶδα γὰρ ὅπου φεύγουσιν. 6. ὥστε ἤχθοντο αὐτοῖς ὡς ταῦτα πάλαι εἰδόσιν. 7. μετὰ τὴν νίκην τοὺς ὠφελίμους γενομένους δώροις καλλίστοις ἐτίμᾱ. 8. πάντων δὴ οὓς ἴσμεν πολλῷ βασιλικώτατος ἐγένετο.

THE VICTORY OF SAMOTHRACE

This noble statue commemorating a naval victory shows the goddess poised on a vessel's prow. In her right hand she once held a trumpet to her lips. Compare the Victory of Pæonius, page 184.

(b) Write in Greek:

1. They say that the satrap has [1] a much smaller force. 2. By this contrivance we must cross the trench. 3. That day they were fighting a great number of the enemy. 4. Because of their friendship the Greeks helped the exiles with great zeal. 5. The king was well-disposed to the people in the plain.

[1] Use the proper form of εἰμί.

430. THE PRAYER OF SOCRATES

ὦ φίλε Πάν τε καὶ ἄλλοι ὅσοι τῇδε (*here*) θεοί, δοίητέ μοι καλῷ γενέσθαι τὰ ἔνδοθεν (*inside*)· ἔξωθεν δ' ὅσα ἔχω τοῖς ἐντὸς (*inside*) εἶναί μοι φίλια. πλούσιον (*wealthy*) δὲ νομίζοιμι τὸν σοφόν. τὸ δὲ χρύσου πλῆθος εἴη μοι ὅσον μήτε φέρειν μήτε ἄγειν δύναιτ' ἄλλος ἢ ὁ σώφρων (*sane*).

Plato, *Phædrus*, 279 B.C.

This, then, I ask, O thou beloved Pan
And all ye other gods: Help as ye can
That I may prosper in the inner man;

Grant ye that what I have or yet may win
Of those the outer things may be akin
And constantly at peace with those within.

May I regard the wise the rich, and care
Myself for no more gold as my earth share
Than he who's of an honest heart can bear.

John Finley.

431. THE RETORT COURTEOUS!

φιλόσοφός τις ἐρωτηθεὶς ὑπὸ Διονυσίου τοῦ τυράννου, διὰ τί οἱ μὲν φιλόσοφοι ἐπὶ τὰς τῶν πλουσίων θύρας ἔρχονται, οἱ δὲ πλούσιοι ἐπὶ τὰς τῶν φιλοσόφων οὐκ-έτι, ἔφη, Ὅτι οἱ μὲν ἴσασιν ὧν δέονται, οἱ δ' οὐκ ἴσασιν.

Diogenes Laertius, II. 69.

432. IN PRAISE OF EROS

Ἔρωτα δ' ὅστις μὴ θεὸν κρίνει μέγαν
καὶ τῶν ἀπάντων δαιμόνων ὑπέρ-τατον,
ἢ σκαιός ἐστιν ἢ καλῶν ἄ-πειρος (*inexperienced*) ὢν
οὐκ οἶδε τὸν μέγιστον ἀνθρώποις θεόν.

Euripides, fragment.

433. LOVELY WOMAN

φύσις κέρᾱτα ταύροις,   γυναιξὶν οὐκ ἔτ᾽ εἶχεν.
ὁπλὰς (*hoofs*) δ᾽ ἔδωκεν ἵπποις, τί οὖν; δίδωσι κάλλος
ποδωκίην(*speed*)λαγωοῖς(*rabbits*), ἀντ᾽ ἀσπίδων ἀπᾱσᾶν,[1]
λέουσι(*lions*)χάσμ᾽ὀδόντων(*teeth*), ἀντ᾽   ἐγχέων   (*spears*)
. . . . ἁπάντων.

. . . . νῑκᾷ δὲ καὶ σίδηρον (*steel*)
τοῖς ἀνδράσιν φρόνημα (*brains*). καὶ πῦρ καλή τις οὖσα.

<div align="right">Anacreontic.</div>

434. Word-formation. (*a*) Numerous compounds in Greek and English derive their second part from the stem ιδ of εἶδον and οἶδα. -ειδής and English -*oid* both come from εἶδος *that which is seen, shape;* and from them come the many words like σφαιρο-ειδής *having the shape* (or *appearance*) *of a sphere,* SPHEROID; ἀστερο-ειδής ASTEROID; ἀνθρωπο-ειδής ANTHROPOID. It should be noted that this type of word suggests *approximate,* and not complete, *similarity* in appearance.

(*b*) What is the meaning of the English words *deltoid, hyoid, rhomboid, sigmoid, trapezoid?*

Metropolitan Museum of Art.
BOYS' HORSE RACE
One rider has been thrown from his horse and is being dragged along clinging to the rein.

---

[1] Dialectic genitive plural.

DAGGERS EXCAVATED AT MYCENÆ

LESSON LXIX

εἰμι. REVIEW OF THE ACCUSATIVE

ἀρχὴ ἄνδρα δείκνυσιν. — *Power proves the man.*[1]

435. Inflection of εἰμι. Learn the inflection of εἰμι (§ 539). Note that the stem of εἰμι is ι (compare Latin *ī-re*).

436. Forms of the Accusative. Review all accusative endings (§ 544, *d*). Note that -**ν**, -**α**, or -**s** is part of every accusative ending, except for neuter singulars, which have the same form as their respective nominatives. What other endings resemble these of the accusative? Where the ending may suggest another case, modifying words and context usually prevent confusion.

437. Uses of the Accusative. Having clearly in mind the forms that indicate an accusative, review the possible uses of the accusative (§ 544, *d*). The major function is that of the *direct object*. This direct object may be that of the person or thing *affected* (the usual direct object) or that of the thing *effected*.

---

[1] Bias, as quoted by Demosthenes, 1455, 15.

438. VOCABULARY

αἰτιάομαι, αἰτιάσομαι, ᾐτιασάμην, ᾐτίαμαι, ᾐτιάθην : *blame, accuse, find fault.* Cf. **αἴτιος.**

ἐάω, ἐάσω, εἴασα, εἴακα, εἴαμαι, εἰάθην : *allow, let be.*

εἶμι, only pres., but freq. with fut. significance : *go.*

μάντις, -εως, ὁ : *seer, soothsayer, prophet.* MANTIC, NECROMANCY.

πειράομαι, πειράσομαι, ἐπειρασάμην, πεπείραμαι, ἐπειράθην : *try.* PIRATE, EMPIRIC.

τάξις, -εως, ἡ : *order, arrangement, position, division.* Cf. **τάττω.** TAXIDERMIST.

χράομαι,[1] χρήσομαι, ἐχρησάμην, κέχρημαι, ἐχρήσθην : *use,* with D. Cf. **χρῆμα.**

439. EXERCISES

(*a*) Translate :

1. ἆρ᾽ οὐ ξύλοις ἐχρῶντο ταῖς ἀσπίσιν ; 2. τοῦτο οὖν αἰτιῶμαί σε, ὅτι οὐκ εἴας αὐτοὺς εἰς τὴν τάξιν ἰέναι. 3. καὶ πρὸς τὰς θύρας ἰόντες ἀπ-ῄτουν τὸν Κῦρον τὸν μισθόν. 4. καὶ μὴν τὴν τάφρον ἐπειρῶντο παρα-τείνειν ἄνω διὰ τοῦ πεδίου ἐπὶ δώδεκα παρασάγγας. 5. ἀφ-ίκοντο δ᾽ εἰς πόλιν εὐδαίμονα Σόλους [2] τὸ ὄνομα.[3] 6. ὑπ-οπτεύσει δὲ τὸν μάντιν ἐλπίδας τινὰς ἔχειν. 7. τὸν δὲ κήρυκα πρὸς βασιλέα ἀπο-στέλλει τὴν ταχίστην ὁδόν. 8. καὶ ἅμα στρατηγοὶ πέντε ἀπο-τμηθέντες τὰς κεφαλὰς ἐτελεύτησαν.

(*b*) Write in Greek :

1. All know the king is winning a fine victory. 2. From there he made a four days' march, (a distance of) twenty-six parasangs, to a city (that was) desolate. 3. The citizens honor him greatly by choosing him ruler. 4. What wrong did his opponents do the man? 5. The boys were trying to do it the quickest way.

---

[1] χράομαι contracts to η instead of α.
[2] Consult *Dictionary of Proper Names.*
[3] Page 144, note 2.

440.

ἐνταῦθα Κῦρος Σῑλᾱνὸν καλέσᾱς τὸν Ἀμπρακιώτην μάντιν ἔδωκεν αὐτῷ δᾱρεικοὺς τρισ-χῑλίους, ὅτι τῇ ἐν-δεκάτῃ ἀπ' ἐκείνης ἡμέρᾳ πρότερον θῡόμενος εἶπεν αὐτῷ ὅτι βασιλεὺς οὐ μαχεῖται δέκα ἡμερῶν. Κῦρος δ' εἶπεν, Οὐκ ἄρα ἔτι μαχεῖται, εἰ ἐν ταύταις οὐ μαχεῖται ταῖς ἡμέραις· ἐὰν δ' ἀληθεύσῃς (compare **ἀληθής**) ὑπ-ισχνοῦμαί σοι δέκα τάλαντα. τοῦτο τὸ χρῡσίον τότε ἀπ-έδωκεν, ἐπεὶ παρ-ῆλθον αἱ δέκα ἡμέραι.   Xenophon, *Anabasis*, I. 7. 18.

441.

In his so-called *True History*, Lucian takes the hero and his shipmates to a sea resembling the Sargasso Sea which we know today. Whether rumors of this sea had reached the ears of Lucian is not known, but in any event his imagination left reality far behind. He tells us that the voyagers hauled their ship to the tree tops and, spreading sail, skimmed along the branches as if on water. He goes on to say:

ἀφ-ῑκόμεθα εἰς τὸ ὕδωρ, καὶ πάλιν ὁμοίως κατα-θέντες τὴν ναῦν ἐπλέομεν μέχρι δὴ ἐπ-έστημεν χάσματι μεγάλῳ ἐκ τοῦ ὕδατος δι-εστῶτος γεγενημένῳ, ὥσπερ ἐν τῇ γῇ πολλάκις ὁρῶμεν ὑπὸ σεισμῶν (compare SEISMOGRAPH) γενόμενα δια-χωρίσματα (*fissures*). ἡ μὲν οὖν ναῦς καθ-ελόντων ἡμῶν τὰ ἱστία (*sails*) οὐ ῥᾳδίως ἔστη παρ' ὀλίγον ἐλθοῦσα κατ-ενεχθῆναι. ὑπερ-κύψαντες (*leaning over*) δὲ ἡμεῖς ὁρῶμεν βάθος (*depth*) ὅσον σταδίων χῑλίων μάλα φοβερόν. εἱστήκει γὰρ τὸ ὕδωρ ὥσπερ μεμερισμένον (compare **μέρος**) · περι-σκοποῦντες δὲ ὁρῶμεν κατὰ δεξιὰ γέφῡραν ἐκ τοῦ ὕδατος πεποιημένην, τὸ γὰρ ὕδωρ ἐκ τῆς ἑτέρᾱς θαλάττης εἰς τὴν ἑτέρᾱν δι-έρρει κατὰ τὴν ἐπι-φάνειαν (*surface*).

Adapted from Lucian, *True History*, II. 43.

EAST FRONT OF THE PROPYLÆA

This monumental entrance to the Acropolis was built by Pericles at a cost of over $2,000,000. Earthquakes have played a large part in destroying it. Partial restoration has been accomplished by the use of its own fallen blocks.

LESSON LXX

SIMILARITIES IN FORM — εἰμί, εἶμι, ἵημι

'Έλληνες ὄντες βαρβάροις δουλεύσομεν;
Shall Greeks be slaves to barbarians ? [1]

442. **Similarities in Form.** Care must be taken to distinguish between certain forms of εἰμί, εἶμι, ἵημι. ἱ- and εἱ- (note the rough breathings) are distinguishing marks of ἵημι : ἱ- indicating the present system; εἱ- the second aorist. ἰ- (note the smooth breathing) is a distinguishing mark of εἶμι. εἰ (again a smooth breathing) is a mark of εἰμί.

Certain forms of ἵστημι, οἶδα, and a few other words, must also be carefully distinguished.

Review the inflection of εἰμί, εἶμι, and ἵημι (§§ 537–539).

443. **VOCABULARY**

δουλεύω, -σω, -σα : *be a slave* (δοῦ-λος), *serve.*

θνητός, -ή, -όν : *mortal, human.* Cf. ἀπο-θνῄσκω.

λιμήν, -ένος, ὁ : *haven, harbor.*

ὀρθός, -ή, -όν : *straight, erect, correct.* ORTHOGONAL, ORTHODOX.

πίνω, πίομαι, ἔπιον, πέπωκα, -πέπομαι, -επόθην : *drink.* Cf. Lat. *bibo.*

τέχνη, -ης, ἡ : *art, skill, craft.* Cf. TECHNIQUE.

τύχη, -ης, ἡ : *chance, lot, fate.* Cf. τυ(γ)χάνω.

444. **EXERCISES**

(a) Locate these forms :

εἴη, εἴη, παρ-είη (2),[2] ἀπ-είην, ἀφ-είην, ἦμεν, ἦμεν, ἵῇ (2), ἵῃ, ἀφ-ἱῇς, ἀπ-ίῃς, ᾖς, ᾖς, ᾖσαν (2), ᾖσαν, εἶσαν, ἵεσαν,

---

[1] Euripides, fragment.

[2] The figures in parentheses show where two or more forms are identical.

238

ἀπ-ιέναι, ἀφ-ῑέναι, ἀφ-εῖναι, ἀπ-εῖναι, εἰδέναι, ἰδεῖν, ἕς, εἷς, εἴς, εἰς, ἴθι, ἴσθι (2), ἔστω, ἴτω, ἔτω, ἴστω, ἱστῶ, ἱέτω, εἰδῇ, ἴδῃ, ἱστῇ, στῇ, ἴστη, ἵστη, παρ-εῖτε (3), εἶτε (2), εἴτε, ἔσεσθε, εἴσεσθαι, εἰδώς, ἰδών, εἰδῶ, ἴασι, ἴᾱσι, ἱστῶσι, ἱστᾶσι.

(b) Write in Greek:

1. They are, they go, they throw. 2. If the seer is wise, he will go at once.   3. The stranger did not know that you threw a second stone. 4. Were you in line (*formation*) when he went by (compound of εἶμι)?

445.   POETRY PAYS

ἔνιοι δὲ τῶν ἐν Σικελίᾳ ἁλόν-των Ἀθηναίων[1] δι' Εὐρῑπίδην ἐσώθησαν. μάλιστα γὰρ οἱ περὶ Σικελίᾱν ἥδοντο αὐτῷ. ὅσοι μὲν οὖν ἐσώθησαν χάριν ᾖσαν τῷ Εὐρῑπίδῃ, ὅτι δουλεύον-τες ἀφ-είθησαν, ἐκ-διδάξαντες ὅσα τῶν ἐκείνου ποιημάτων ἐμέμνηντο. τοὺς δὲ Καυνίους φασὶ διωκομένους ποτὲ οὐκ ἐᾶν τοὺς Συρᾱκοσίους εἰς τὸν λιμένα ἰέναι, ἐπεὶ δὲ ἐπύθοντο ὅτι γιγνώσκουσι ποιήματα τῶν Εὐρῑ-πίδου, οὕτω δὴ παρ-εῖναι καὶ κατ-αγαγεῖν τὸ πλοῖον.

EURIPIDES

Adapted from Plutarch, *Nicias*, 29.

Upon this old tradition, Robert Browning founds his dramatic poem entitled *Balaustion's Adventure*, wherein

---

[1] Athenians who had been captured when the Sicilian expedition met with disaster.

Balaustion, a Greek girl, wins succor for her shipmates by reciting Euripides' *Alcestis*, a large part of which the English poet works in with splendid effect.

446. οἶνος καὶ ἀλήθεια [1]

In the following lines from that same play, the speaker is jovial Heracles, the heavy-drinker and heavy-hitter, who has come to visit king Admetus, not knowing that the king has just lost his devoted queen. Heracles is addressing a servant who has protested at his boisterous conduct.

δεῦρ' ἔλθ', ὅπως ἂν καὶ σοφώτερος γένῃ.
τὰ θνητὰ πράγματ' οἶδας [2] ἣν ἔχει φύσιν ;
οἶμαι μὲν οὔ· πόθεν γάρ ; [3] ἀλλ' ἄκου' ἐμοῦ.
βροτοῖς (*mortals*) ἅπασι κατ-θανεῖν ὀφείλεται,
κοὐκ ἔστι θνητῶν ὅστις ἐξ-επίσταται
τὴν αὔριον (*morrow*) μέλλουσαν εἰ βιώσεται ·
τὸ τῆς τύχης [4] γὰρ ἀ-φανὲς (compare φαίνω) οἷ (*whither*)
    προ-βήσεται,
κἄστ' (καὶ ἔστι) οὐ διδακτὸν οὐδ' ἀλίσκεται τέχνῃ.
ταῦτ' οὖν ἀκούσας καὶ μαθὼν ἐμοῦ πάρα (= παρ' ἐμοῦ),
εὔφραινε (*enjoy*) σαυτόν, πῖνε, τὸν καθ' ἡμέραν
βίον λογίζου (*count*) σόν, τὰ δ' ἄλλα τῆς τύχης.
τίμα δὲ καὶ τὴν πλεῖστον [5] ἡδίστην θεῶν
Κύπριν [6] βροτοῖσιν· εὐ-μενὴς (*kindly-minded*) γὰρ ἡ θεός,
τὰ δ' ἄλλ' ἔασον ταῦτα καὶ πείθου λόγοις
ἐμοῖσιν, — εἴπερ ὀρθά σοι δοκῶ λέγειν.

<div align="right">Euripides, Alcestis, 779–793.</div>

---

[1] Compare the Latin *in vino veritas*.
[2] Poetic form of οἶσθα.
[3] πόθεν = *whence*. The expression is elliptic and idiomatic = *How (could you)?*
[4] τὸ τῆς τύχης, a favorite periphrasis differing little from ἡ τύχη.
[5] Compare Shakespeare's "*most unkindest.*"
[6] Κύπριν, the Cyprian goddess, *i.e.*, Aphrodite.

LESSON LXXI

INFLECTION OF δείκνῡμι

οὐκ ἀνδρὸς ὅρκοι πίστις, ἀλλ' ὅρκων ἀνήρ.
It is not the oath but the man that counts.[1]

447. Inflection of δείκνῡμι. (*a*) Learn the inflection of δείκνῡμι in the present system.

Note the general similarity of the indicative, imperative, infinitive, and participle of δείκνῡμι to the same forms of ἵστημι. The subjunctive and optative are the same as for παύω.

(*b*) Write the inflection of δεικνύς (like ἱστάς). Compare with paradigm (§ 514, *f*).

(*c*) The aorist is regular, ἔδειξα. There is no second aorist.

448. **VOCABULARY**

ἀπο-δείκνῡμι: *prove, appoint.*
  APODEICTIC.

ἀπ-όλλῡμι, -ολῶ, -ώλεσα, -ωλόμην, -ολώλεκα, -όλωλα: *destroy, lose;* mid., *perish, be lost.*
  APOLLYON.

ἀριθμός, -οῦ, ὁ: *number.*
  LOGARITHM.

δείκνῡμι, δείξω, ἔδειξα, δέδειχα, δέδειγμαι, ἐδείχθην: *show, point out.* PARADIGM.

ἐπι-δείκνῡμι: *show off, display.*
  EPIDEICTIC.

ζεύγνῡμι, ζεύξω, ἔζευξα, ἔζευγμαι, ἐζεύχθην: *yoke, bind, unite.*
  ZEUGMA.

νεκρός, -οῦ, ὁ: *corpse.* NECROSIS.

ὄμνῡμι, ὀμοῦμαι, ὤμοσα, ὀμώμοκα, ὀμώμοσμαι, ὠμόσθην: *swear, take oath.*

ὅρκος, -ου, ὁ: *oath.*

ὀφθαλμός, -οῦ, ὁ: *eye.* Cf. ὄψο-μαι. OPHTHALMIA.

---

[1] Æschylus, fragment. Literally: *Oaths are not a guarantee of a man, but a man is a guarantee of oaths.*

241

449.　　　　**EXERCISES**

(a) Translate :

1. στρατηγὸν δὲ ἀπο-δείκνυσιν αὐτὸν πάντων ὅσοι εἰς Καστωλοῦ πεδίον ἀθροίζονται.　2. ἀλλ' ὅμως γέφυρα ἐπ-ῆν ἐζευγμένη ἑκατὸν πλοίοις.　3. ἔφασαν δέ τινες τούτους τοὺς στρατιώτᾱς ὑπο-λειφθέντας ἀπ-ολέσθαι.　4. ὑπὲρ τὸν ὀφθαλμὸν πληγεὶς ἀπ-έθανεν.　5. καὶ ὅρκον μέγαν ὀμνύᾱσι τοὺς νεκροὺς ἀνα-λαβόντες θάψειν.　6. ἥδονται δὲ ἀπο-δεικνύντες ὅτι πολλῷ ἀμείνους εἰσὶ τῶν βαρβάρων. 7. ἆρ' οὐκ ἂν φοβοῖσθε μὴ ἀπ-ολλύῃ τὰς βοῦς ;　8. κελεύω σε δεικνύναι ἡμῖν ὅπου εἰσὶν αἱ εἴκοσι νῆες.　9. ἐν-νοεῖτε δὲ καὶ τόδε · εἰ μή που ταῦτ' ὤμνυτε, οὐκ ἂν ὑμῖν ἐπιστεύομεν.

(b) Write in Greek :

1. They appoint him leader because of his bravery. 2. The man swears a great oath that he will inflict punishment on his opponents.　3. Not being able to find the road, the captain perished.　4. By every art they are trying to bridge[1] the river.

450.　　　　**NO MATCH FOR SOCRATES**

ἀφ-ικόμενος γὰρ Ἱππίᾱς παρ-εγένετο Σωκράτει λέγοντι ὡς τοῦτο θαυμαστὸν (compare **θαυμάζω**) εἴη, ὅτι εἰ μέν τις βούλοιτο τέχνην τινὰ διδάξασθαι, οὐκ ἀ-πορεῖ ὅποι ἂν ἰὼν ταύτην μάθοι, εἰ δὲ τὸ δίκαιον βούλοιτο διδάξασθαι, τότε ἀ-πορεῖ. καὶ ὁ μὲν Ἱππίᾱς ἀκούσᾱς ταῦτα ὥσπερ ἐπι-σκώπτων (compare scoff) αὐτόν, Ἔτι γὰρ σύ, ἔφη, ὦ Σώκρατες, ἐκεῖνα τὰ αὐτὰ λέγεις ἃ ἐγὼ πάλαι ποτέ σου ἤκουσα ; καὶ ὁ Σωκράτης, Ὁ δέ γε τούτου δεινότερον, ἔφη, ὦ Ἱππίᾱ, οὐ μόνον ἀεὶ τὰ αὐτὰ λέγω ἀλλὰ καὶ περὶ τῶν αὐτῶν · σὺ δ' ἴσως πολυ-μαθὴς ὢν περὶ τῶν αὐτῶν οὐδέποτε

---

[1] See sentence 2 in (a).

τὰ αὐτὰ λέγεις. Ἀμέλει (*certainly*), ἔφη, πειρῶμαι καινόν (*new*) τι λέγειν ἀεί. πότερον, ἔφη, καὶ περὶ ὧν ἐπίστασαι; οἷον περὶ γραμμάτων (*letters*), ἐάν τις ἐρωτᾷ σε πόσα καὶ ποῖα Σωκράτους (that is, *in the name Socrates*) ἐστίν, ἄλλα μὲν πρότερον ἄλλα δὲ νῦν πειρᾷ λέγειν; ἢ περὶ ἀριθμῶν τοῖς ἐρωτῶσιν, εἰ τὰ δὶς πέντε δέκα ἐστίν, οὐ- τὰ αὐτὰ νῦν ἃ καὶ πρότερον ἀπο-κρίνει; περὶ μὲν τούτων, ἔφη, ὦ Σώκρατες.

<div align="right">Xenophon, Memorabilia, IV. 4. 5–7.</div>

451.   CARRY ON!

Ναυηγοῦ (*shipwrecked sailor*) τάφος εἰμί· σὺ δὲ πλέε· καὶ γὰρ ὅθ’ (=ὅτε) ἡμεῖς
ὠλόμεθ’, αἱ λοιπαὶ νῆες ἐπόντοπόρουν (*were sailing the sea*).

<div align="right">Greek Anthology.</div>

452.   GREEK INFLUENCE

Under the plastic touch of conquered Greece, the Latin language was gradually moulded into an apter instrument, while the Roman intellect itself acquired, in some measure, a flexibility not native to it.

<div align="right">R. C. Jebb, Essays and Addresses.</div>

Clearness of vision, cheerfulness of acceptance, easy grace of expression, are the qualities which delight us; and now when we affirm that we find all these in the genuine Grecian works, achieved in the noblest material, the best proportioned form, with certainty and completeness of execution, we shall be understood if we always refer to them as a basis and a standard. Let each be a Grecian in his own way, but let him be one.

<div align="right">Ibid. Quoted from Goethe.</div>

LESSON LXXII

AORIST OF γιγνώσκω

γνῶθι σαυτόν. — *Know thyself.*[1]

453. γιγνώσκω in the Aorist. (*a*) Learn the inflection of ἔγνων (§ 543).

Although not a -μι verb, γιγνώσκω has an aorist much like that of δίδωμι. The difference lies chiefly in the indicative and imperative.

(*b*) In like manner inflect the second aorist of ἁλίσκομαι (imperative is lacking).

454. **VOCABULARY**

βλέπω, βλέψω, ἔβλεψα : *look, face, point.*

γυμνός, -ή, -όν : *bare, naked, lightly-clad.* GYMNAST.

δια-γιγνώσκω : *distinguish, decide between.* DIAGNOSIS.

ζάω, ζήσω : *live;* τὸ ζῷον : *living thing.* ZOÖLOGY.

πονέω, πονήσω, ἐπόνησα, πεπόνηκα, πεπόνημαι, ἐπονήθην : *toil, struggle.* Cf. πόνος.

σχολή, -ῆς, ἡ : *leisure, free time for anything.* SCHOLAR.

455. **SOUND ADVICE**

τὸ γνῶθι σαυτὸν [2] ἔστιν, ἂν τὰ πράγματα
εἰδῇς τὰ σαυτοῦ καὶ τί σοι ποιητέον.

Menander, fragment.

---

[1] Thales, as quoted by Diogenes Laertius, I. 40. Also said to have been inscribed on the temple of Apollo at Delphi.

[2] γνῶθι σαυτόν, being a set phrase, may receive an article (τό).

244

456. **THE SIX-HOUR DAY**

ἓξ ὧραι μόχθοις (*hard work*) ἱκανώταται· αἱ δὲ μετ᾽ αὐτὰς
γράμμασι (*letters*) δεικνύμεναι ζ ῆ θ ι¹ λέγουσι βροτοῖς
(*mortals*).   Greek Anthology.

457. **AS A FLOWER OF THE FIELD**

ΜΕΝΙΠΠΟΣ. ποῦ δὲ οἱ καλοί εἰσιν ἢ αἱ καλαί, Ἑρμῆ ;
ἐπί-δειξόν μοι αὐτούς.

ΕΡΜΗΣ. Οὐ σχολή μοι, ὦ Μένιππε· ἀλλὰ μὴν κατ᾽
ἐκεῖνο ἀπό-βλεψον, ἐπὶ τὰ δεξιά, ἔνθα ὁ Ὑάκινθός τέ ἐστι

THE SKELETON AT THE FEAST

καὶ Νάρκισσος καὶ Ἀχιλλεὺς καὶ Τυρὼ καὶ Ἑλένη καὶ
Λήδα καὶ ὅλως πάντα τὰ ἀρχαῖα κάλλη.

MEN. Ὀστᾶ (*bones*) μόνα ὁρῶ καὶ κρανία (compare
CRANIUM) τῶν σαρκῶν (compare SARCOPHAGUS) γυμνά,
ὅμοια τὰ πολλά.

ΕΡΜ. Καὶ μὴν ἐκεῖνά ἐστιν ἃ πάντες οἱ ποιηταὶ θαυμά-
ζουσιν, ἃ σὺ ὀλίγου ἄξια νομίζεις.

---

¹ Imperative of ζάω. The key is found in the fact that the Greeks used
letters of the alphabet to represent numbers. 1 — 6 = α β γ δ ε ϛ and 7 — 10
= ϛ η θ ι. Their day was from sunrise to sunset.

MEN. Ὅμως τὴν Ἑλένην μοι δεῖξον· οὐ γὰρ ἂν δια-
γνοίην ἔγω-γε.

EPM. τοῦτο τὸ κρᾱνίον ἡ Ἑλένη ἐστίν.

MEN. Εἶτα διὰ τοῦτο αἱ χίλιαι νῆες ἐπέμφθησαν ἐξ
ἁπάσης τῆς Ἑλλάδος καὶ τοσοῦτοι ἔπεσον Ἕλληνές τε καὶ
βάρβαροι καὶ τοσαῦται πόλεις ἀν-ετράπησαν;

EPM. Ἀλλ' οὐκ εἶδες, ὦ Μένιππε, ζῶσαν τὴν γυναῖκα.
ἔφης γὰρ ἂν καὶ σὺ ἀ-νεμέσητον[1] (not surprising) εἶναι
τοιῇδ'[2] ἀμφὶ γυναικὶ πολὺν χρόνον ἄλγεα[2] πάσχειν·

MEN. Οὐκοῦν τοῦτο, ὦ Ἑρμῆ, θαυμάζω, εἰ μὴ συν-ίεσαν
(understood) οἱ Ἀχαιοὶ περὶ πράγματος οὕτως ὀλιγο-
χρονίου καὶ ῥᾳδίως ἀπ-ανθοῦντος (fade) πονοῦντες.

<div align="right">Lucian, Dialogues of the Dead, 18.</div>

458. Which of the "beauties" above mentioned are
familiar in English literature? Be prepared to state
briefly the most important facts regarding each.

459.   EXERCISE

Write in Greek:

1. Know thyself.   2. Knowing that, he would not have
toiled to the limit of his strength (as strongly as possible).
3. The king then knew that the city was captured.   4. I
do not have leisure to look at that.

460. Word-formation. -εῖον, -ēum, denotes place where:
Μουσεῖον MUSĒUM, haunt of the Muses (Μοῦσα Muse);
Μαυσωλεῖον MAUSOLĒUM, the tomb of Mausōlus (Μαύ-
σωλος) in Halicarnassus;
Ὠιδεῖον ODĒUM, a building in Athens for musical per-
formances (ᾠδή song), erected by Pericles.

---

[1] With ἀ-νεμέσητον associate NEMESIS (resentment, retributive justice).

[2] Quoted from Homer (note the dactylic hexameter); hence τοιῇδ' for τοιαύτῃ
and ἄλγεα for ἄλγη.

LESSON LXXIII

INFLECTION OF δηλόω

οὕτοι τὰ χρήματ' ἴδια κέκτηνται βροτοί.
Man's wealth is but a loan from heaven.[1]

THE TEMPLE AT BASSÆ

The Greeks lavished their wealth on temples to the gods rather than on their own dwellings. This majestic shrine stands in a remote corner of mountainous Arcadia. It is said to have been built by the architect of the Parthenon.

461. Rules of Contraction. (*a*) Review the principles of contraction in § 127.

(*b*) Rules for contraction of verbs in **-οω**:

$$\text{o} + \epsilon \quad \text{or } \text{o} \quad \text{or } \text{ου} \quad = \text{ου}$$
$$\text{o} + \eta \quad \text{or } \omega \quad \quad = \omega$$
$$\text{o} + \iota\text{-diphthong } (\epsilon\iota, \text{οι}, \eta) = \text{οι}$$

---

[1] Euripides, *Phœnissæ*, 555. Literally: *Mortals do not own their wealth as private property.*

247

462. Inflection of δηλόω. (*a*) Write out inflection of the present system of δηλόω. Compare with paradigm (§ 534).

(*b*) In other systems than the present, **o** of the stem becomes **ω**:　δηλόω, δηλώσω, ἐδήλωσα, κ.τ.λ.

463.　　　　　　　　VOCABULARY

ἀξιόω, ἀξιώσω, ἠξίωσα, ἠξίωκα, ἠξίωμαι, ἠξιώθην: *deem worthy, demand.* Cf. **ἄξιος.** AXIOM.

δηλόω, δηλώσω, ἐδήλωσα, δεδήλωκα, δεδήλωμαι, ἐδηλώθην: *make plain, show.* Cf. **δῆλος.**

ἑκών, -οῦσα, -όν: *willing, intentional.*

ἐξ-απατάω, -απατήσω, -ηπάτησα, -ηπάτηκα, -ηπάτημαι, -ηπατήθην: *deceive utterly.*

ἥλιος, -ου, ὁ: *sun.* HELIOGRAPH.

ἡττάομαι, ἡττήσομαι, ἥττημαι, ἡττήθην: *be worsted, defeated.* Cf. **ἥττων.**

κτάομαι, κτήσομαι, ἐκτησάμην, κέκτημαι, ἐκτήθην: *gain, get possession of.*

ὁρμάω, ὁρμήσω, ὥρμησα, ὥρμηκα, ὥρμημαι, ὡρμήθην: *set in motion, start* (trans.).

464.　　　　　　　　EXERCISES

(*a*) Translate:

1. οὕτως αὖ ἐδήλου ὅτι οὐκ ἂν αὐτοὺς προ-δοίη, οὐδ᾽ εἰ πολλῷ ἐλάττους τὸν ἀριθμὸν γένοιντο.　2. ἔδοξε δ᾽ αὐτοῖς ἀξιοῦν πλείονα μισθόν.　3. ὥστε ἠξίουν αὐτὸν μὴ ἑκόντα ἐξ-απατᾶν.　4. κατὰ τὴν ὀρθὴν ὁδὸν ὁρμώμενος πάνθ᾽ ὅσα ἐβούλετο ἐκτήσατο.　5. οὐ ῥᾳδίως ἂν ἡττήθησαν, εἰ μὴ ὁ ἥλιος ἐξ-έλιπεν.　6. εἰ δὲ δή ποτε πορεύοιτο καὶ πλεῖστοι μέλλοιεν εἰς αὐτὸν ἀπο-βλέψειν, προσ-καλῶν τοὺς εὔνους σπουδαίως δι-ελέγετο, ὡς δηλοίη οὓς τιμᾷ.　7. καὶ δὴ ὅτου μάλιστα ὁρῴη ἕκαστον δεόμενον, δῆλος ἦν πειρώμενος παρ-έχεσθαι.　8. ἐὰν δὲ βασιλέα ἐξ-απατᾷ, φοβοῦμαι μὴ ἀξιοῖ τοὺς Ἕλληνας ἀπο-κτεῖναι.

(*b*) Write in Greek:

1. Willingly we started (*be careful of voice*) for the village.
2. Being defeated by a small force, they make it plain that

they are cowardly.   3. Demand whatever seems best, so that you may not perish on the march.   4. Although he was utterly deceived, he did not spend all his money.

465.   **"THE SEA! THE SEA!"**

ἐντεῦθεν ἐπορεύθησαν διὰ Χαλύβων, οἳ ἦσαν ὧν δι-ῆλθον ἀλκιμώτατοι (*most warlike*)· ἐπεὶ δὲ παρ-έλθοιεν οἱ Ἕλληνες, οὗτοι εἵποντο ἀεὶ μαχόμενοι. ἐκ τούτου ἀφ-ίκοντο εἰς πόλιν

THE SHIP OF ODYSSEUS

According to legend, the ship which bore Odysseus home was turned by the angry gods into this island.

μεγάλην καὶ εὐδαίμονα, ἐξ ἧς ὁ ἄρχων τοῖς Ἕλλησιν ἡγεμόνα πέμπει· ἐλθὼν δ' ἐκεῖνος λέγει ὅτι ἄξει αὐτοὺς πέντε ἡμερῶν εἰς χωρίον ὅθεν (compare ἐντεῦθεν) ὄψονται θάλατταν.

καὶ ἀφ-ικνοῦνται ἐπὶ τὸ ὄρος τῇ πέμπτῃ ἡμέρᾳ· ἐπεὶ δὲ οἱ πρῶτοι ἐγένοντο ἐπὶ τοῦ ὄρους, κραυγὴ πολλὴ ἐγένετο. ἀκούσᾱς δὲ ὁ Ξενοφῶν καὶ οἱ ὀπισθο-φύλακες ἐνόμισαν ἔμ-προσθεν ἄλλους ἐπι-τίθεσθαι πολεμίους· ἐπειδὴ δ' ἡ βοὴ (*shouting*) πλείων τε ἐγίγνετο καὶ ἐγγύτερον καὶ οἱ ἀεὶ

ἐπ-ιόντες ἔθεον δρόμῳ ἐπὶ τοὺς ἀεὶ βοῶντας (compare βοή)
καὶ πολλῷ μείζων ἐγίγνετο ἡ βοὴ ὅσῳ δὴ πλείους ἐγίγνοντο,
ἐδόκει δὴ μεῖζόν τι εἶναι τῷ Ξενοφῶντι· καὶ ἀνα-βὰς ἐφ᾽
ἵππον καὶ τοὺς ἱππέας ἀνα-λαβὼν παρ-εβοήθει· καὶ τάχα
δὴ ἀκούουσι βοώντων τῶν στρατιωτῶν Θάλαττα
θάλαττα. ἔνθα δὴ ἔθεον πάντες καὶ οἱ ὀπισθο-φύλακες,
καὶ τὰ ὑπο-ζύγια (pack animals) ἠλαύνετο καὶ οἱ ἵπποι.

<div align="right">Adapted from Xenophon, Anabasis, IV. 7. 15-24.</div>

466.   SHADOW OR SUBSTANCE[1]

νεανίας (youth) ὄνον (ass) μισθωσάμενος (compare
μισθός), ἐπεὶ ὁ ἥλιος θερμὸς ἐγένετο, ἠξίωσεν ὑπὸ τῇ τοῦ ὄνου
σκιᾷ (shade) κατα-κεῖσθαι. ὁ μὲν οὖν μισθώσας ἐκώλυεν
αὐτόν, λέγων ὅτι τὸν μὲν ὄνον μισθώσειε, τὴν δὲ σκιὰν οὔ. ὁ
δ᾽ εἶπεν ὅτι τὸν ὄνον μισθωσάμενος μισθώσαιτο καὶ τὴν σκιάν.
ἐν τούτῳ μαχομένους αὐτοὺς κατ-έλιπεν ὁ ὄνος.

<div align="right">Adapted from Æsop, 339.</div>

467. Word-formation. (*a*) Verbs formed by adding -οω
to noun (or adjective) stems denote action of a nature
similar to that expressed by the noun (or adjective). They
are usually *causative* :

> δοῦλος *slave,* δουλόω *enslave ;*
> δῆλος *clear,* δηλόω *make clear.*

In like manner, form verbs from ζῆλος *emulation,*
μάστιξ, -ῖγος *whip.*

(*b*) From verbs in -οω come nouns in -ωσις :

νεκρός *dead body,* νεκρόω *make dead,* νέκρωσις *deadness,* NECROSIS ;

From such nouns in turn have come the numerous medi-
cal terms in *osis* : *arterio-sclerosis, neurosis, psychosis,* etc.
(§ 280).

---

[1] This fable is said to have been used by Demosthenes with telling effect
upon an inattentive jury.

SUMMARY OF PARTICIPIAL FORMS AND USES

πρὸς κέντρα μὴ λάκτιζε. — *Kick not against the pricks.*[1]

468. Forms of Participles. Review all participial forms (§ 545, *f*). Note that the stem is that of the corresponding tense of the indicative, and that the clues to most participles and their tenses are :

-οντ-, -ουσ- (present, future, or second aorist active) ;

-αντ-, -āσ- (first aorist active) ;[2]

-οτ-, -υι- (perfect active) ;

-ομεν- (present or future middle or passive, second aorist middle) ;

-αμεν- (first aorist middle) ;

-μεν- *without connecting vowel* (perfect middle or passive) ;

-εντ-, -εισ- (aorist passive).[3]

469. Uses of Participles. Having clearly in mind the clues that indicate a participle, review the possible uses of the participle (§ 545, *f*). Fix clearly the difference in meaning conveyed by the tenses, especially the present and aorist (§ 546, *a* and *c*).

---

[1] Æschylus, *Agamemnon*, 1624. Literally: *Kick not against the goads.* Compare The Acts of the Apostles, XXVI. 14.

[2] Also present of ἴστημι.

[3] Also present and aorist active of τίθημι and ἵημι.

470. VOCABULARY

ἁμαρτάνω, ἁμαρτήσομαι, ἥμαρτον, ἡμάρτηκα, ἡμάρτημαι, ἡμαρτή-θην : *miss*, with G.; *err.*

θώρᾱξ, -ᾱκος, ὁ : *breastplate, corselet, cuirass.* THORAX, THORACIC.

λανθάνω, λήσω, ἔλαθον, λέληθα, λέλησμαι : *escape notice, elude; do secretly*, with suppl. part. LETHE.

πεζός, -ή, -όν : *afoot;* ὁ πεζός : *infantryman.*

τι-τρώσκω, τρώσω, ἔτρωσα, τέτρω-μαι, ἐτρώθην : *wound.* TRAUMA.

φθάνω, φθήσομαι, ἔφθασα : *outstrip, beat, anticipate.* Usually with suppl. part.[1]

471. A GRUMBLER SHAMED

Καὶ ἐνταῦθα πολλὴ μὲν κραυγὴ ἦν τοῦ Ἑλληνικοῦ στρα-τεύματος δια-κελευομένων τοῖς ἑαυτῶν, πολλὴ δὲ κραυγὴ τῶν

ATALANTA'S RACE

Atalanta outran every youth with whom she raced. Finally she was vanquished by Hippomenes. He threw at her feet a golden apple, which she stopped to pick up.

ἀμφὶ Τισσαφέρνην τοῖς ἑαυτῶν δια-κελευομένων. Ξενοφῶν δὲ παρ-ελαύνων ἐπὶ τοῦ ἵππου παρ-εκελεύετο · Ἄνδρες, νῦν ἐπὶ τὴν Ἑλλάδα νομίζετε ἀμιλλᾶσθαι (*race*), νῦν πρὸς τοὺς παῖδας καὶ τὰς γυναῖκας, νῦν ὀλίγον πονήσαντες ἀ-μαχεὶ (*adverb*) τὴν λοιπὴν[2] πορευσόμεθα. Σωτηρίδᾱς δὲ ὁ Σικυώ-νιος εἶπεν · Οὐκ ἐξ ἴσου, ὦ Ξενοφῶν, ἐσμέν · σὺ μὲν γὰρ

---

[1] § 393, *b.*   [2] Supply ὁδὸν

ἐφ' ἵππου ἐλαύνεις, ἐγὼ δὲ χαλεπῶς πονῶ τὴν ἀσπίδα φέρων. ὁ δὲ ἀκούσᾱς ταῦτα κατα-πηδήσᾱς ἀπὸ τοῦ ἵππου ὠθεῖται (pushes) αὐτὸν ἐκ τῆς τάξεως καὶ τὴν ἀσπίδα ἀφ-ελόμενος ὡς ἐδύνατο τάχιστα ἔχων ἐπορεύετο· ἐτύγχανε δὲ καὶ θώρᾱκα ἔχων τὸν ἱππικόν· ὥστε ἐπιέζετο (was burdened). καὶ τοῖς μὲν ἔμ-προσθεν (ἐν + πρόσθεν) σπεύδειν παρ-εκελεύετο, τοῖς δὲ ὄπισθεν παρ-ιέναι, μόλις (with difficulty) ἑπόμενος. οἱ δ' ἄλλοι στρατιῶται παίουσι καὶ βάλλουσι καὶ λοιδοροῦσι (taunt) Σωτηρίδᾱν μέχρι ἠνάγκασαν αὐτὸν λαβόντα τὴν ἀσπίδα πορεύεσθαι. ὁ δὲ ἀνα-βὰς, ἕως μὲν οἷόν τ' ἦν, ἐπὶ τοῦ ἵππου ἦγεν, ἐπεὶ δὲ οὐκέτι οἷόν τ' ἦν, κατα-λιπὼν τὸν ἵππον ἔσπευδε πεζῇ. καὶ φθάνουσιν ἐπὶ τῷ ἄκρῳ γενόμενοι τοὺς πολεμίους.

<div style="text-align:right">Xenophon, <i>Anabasis</i>, III. 4. 45–49.</div>

472.   **EXERCISE**

Write in Greek :

1. A certain infantryman came away secretly. 2. While arming themselves they learned that their commander was wounded. 3. Although few had perished, the general was perplexed. 4. Already the wounded happen to be many. 5. He stopped drinking when his friends appeared.

LESSON LXXV

SUMMARY OF INFINITIVE FORMS AND USES

οὐκ ἔστι Πειθοῦς ἱερὸν ἄλλο πλὴν λόγος.
There is no shrine of Persuasion save only speech.[1]

473. Forms of the Infinitive. Review all infinitive forms (§ 545, *e*). Note that the stem is that of the corresponding tense of the indicative, and that the clues to most infinitives and their tenses are:

-ειν (present, future, or second aorist active);

-σαι or *stem liquid* + αι (first aorist active);

-έναι (perfect active);[2]

-εσθαι (present or future middle or passive, or second aorist middle);

-ασθαι (first aorist middle);

-σθαι *without connecting vowel* and *with accents on penult* (perfect middle or passive);

-ῆναι (aorist passive).

474. Uses of the Infinitive. Having clearly in mind the clues that indicate an infinitive, review the possible uses of the infinitive (§ 545, *e*). Note that in some of its uses the infinitive is a *noun*, in others a *verb*, in still others it *merges noun and verb* functions. Fix clearly the difference in meaning conveyed by the tenses, especially the present and aorist, both in indirect discourse and elsewhere (§ 546, *a* and *c*).

---

[1] Euripides, *Antigone.* Quoted by Aristophanes, *Frogs*, 1391.

[2] Also present active of τίθημι and ἵημι.

475. **VOCABULARY**

βασίλειος, -α, -ον: *royal;* τὰ βασίλεια: *palace.* BASILICA.

κύκλος, -ου, ὁ: *circle.* CYCLE.

λόγχη, -ης, ἡ: *spear point, spear.*

λόφος, -ου, ὁ: *hill, crest, plume.*

ὄρθιος, -ᾱ, -ον: *straight up and down, steep.* Cf. ὀρθός.

πελταστής, -οῦ, ὁ: *peltast,* a light-armed soldier.

ὠνέομαι, ὠνήσομαι, ἐπριάμην: *buy.*

κύκλος Μυκηναῖος

This grave circle is on the acropolis of Mycenæ. Within it were discovered the graves of seventeen lords of the city and a sufficient wealth of treasure to justify the Homeric epithet "golden."

476. **EXERCISES**

(*a*) Translate :

1. τοὺς δὲ ἐναντίους ἐπειρῶντο φθάνειν τὰ ἄρματα ζεύξαντες. 2. καὶ ὑμεῖς αἴτιοι ἔσεσθε τοῦ τὰ βασίλεια διαρπάζειν. 3. ἀλλ' οὐκ ἔσται τὸν λόφον κτᾶσθαι, ἐὰν μὴ πελταστὰς περὶ τὸ ἄκρον κύκλῳ ἱστῆτε. 4. καὶ ὅσᾱς ἔλαβον κώμᾱς πάσᾱς ηὕρισκον μεστὰς οὔσᾱς σίτου καὶ οἴνου,

ὥστε μὴ δεῖν τὰ ἐπιτήδεια ὠνεῖσθαι.   5. πρὶν μέντοι εἰς τὴν μάχην ἰέναι, πάντες οἱ Πέρσαι ὁπλίζονται θώρᾱξι καὶ ἀσπίσι καὶ λόγχαις.   6. ὁ δὲ λόφος κύκλῳ ἐστὶ πάνυ ὄρθιος, ὥστε οὐκ ἔστι τοῖς ἵπποις χρῆσθαι.   7. ἐκέλευσε γὰρ τοὺς Ἕλληνας θέσθαι τὰ ὅπλα.   8. τότε δὴ πρὶν πορευθῆναι πλέον ἢ τρεῖς παρασάγγᾱς, τοὺς ἱππέᾱς ἦν ὁρᾶν.   9. βέλτιστον εἶναι ἔφασαν τὰς λόγχᾱς ῥῖψαι εἰς τὸν λιμένα.

(b) Write in Greek :

1. His opponents prevent him from reaching the palace. 2. The captain will order the peltasts to keep throwing their javelins.   3. The hill was full of men before the Greeks began to attack.   4. No one is so wise that he knows everything.   5. Would that the hill were not so steep.

477.   "HEADS, I WIN; TAILS, YOU LOSE"

τί οὖν κελεύω ποιῆσαι; νῦν δεῖται Κῦρος ἕπεσθαι τοὺς Ἕλληνας ἐπὶ βασιλέᾱ· ἐγὼ οὖν φημι ὑμᾶς χρῆναι διαβῆναι τὸν Εὐφράτην ποταμὸν πρὶν δῆλον εἶναι ὅ τι οἱ ἄλλοι Ἕλληνες ἀπο-κρῑνοῦνται Κύρῳ. ἢν μὲν γὰρ αὐτοῖς δόξῃ ἕπεσθαι, ὑμεῖς δόξετε αἴτιοι εἶναι ἄρξαντες τοῦ δια-βαίνειν, ἢν δὲ μὴ ταῦτα ἕλωνται οἱ ἄλλοι, ἄπ-ιμεν μὲν ἅπαντες πάλιν καὶ οὗτινος ἂν δέησθε οἶδα ὅτι ὡς φίλοι τεύξεσθε Κύρου.

Xenophon, *Anabasis*, I. 4. 14–15.

478.   THE MARRIAGE MARKET

κατὰ κώμᾱς ἑκάστᾱς ἅπαξ τοῦ ἔτους ἑκάστου ἐποιεῖτο τάδε · ὅσαι παρθένοι (*maidens*) γίγνοιντο γάμων (compare POLYGAMY) ὡραῖαι (*ripe*), ταύτᾱς πάσᾱς εἰς ἓν χωρίον εἰσ-ῆγον, πέριξ (*around*) δὲ αὐτᾱς ἵσταντο πολλοὶ ἄνδρες. ἀν-ιστὰς δὲ κατὰ μίαν ἑκάστην κῆρυξ ἐπώλει, πρῶτα μὲν καλλίστην ἐκ πᾱσῶν, μετὰ (adverb) δέ, ὅτε αὕτη εὑροῦσα πολὺ χρῡσίον

πραθείη[1], ἄλλην ἀν-εκήρυσσε (compare **κῆρυξ**) ἢ μετ᾽ ἐκείνην ἦν καλλίστη. ὅσοι μὲν δὴ ἦσαν εὐδαίμονες τῶν Βαβυλωνίων ἐπί-γαμοι (*marriageable*), οὗτοι ὑπερ-βάλλοντες ἀλλήλους ἐξ-ωνοῦντο τὰς καλλίστᾱς· ὅσοι δὲ τοῦ δήμου (*common people*) ἦσαν ἐπί-γαμοι, οὗτοι χρήματά τε καὶ αἰσχίονας παρθένους ἐλάμβανον. ὡς γὰρ δὴ δι-εξ-έλθοι ὁ κῆρυξ πωλῶν τὰς καλλίστᾱς τῶν παρθένων, ἀν-ίστη τὴν ἀ-μορφεστάτην (compare AMORPHOUS) ἢ ἔμπηρόν (*cripple*) τινα, καὶ ταύτην ἀν-εκήρυσσε· ὅσ-τις δ᾽ ἐθέλοι ἐλάχιστον χρῡσίον λαβὼν συν-οικεῖν αὐτῇ, τούτῳ προσ-έκειτο ἡ παρθένος· τὸ δὲ χρῡσίον ἐγίγνετο ἀπὸ τῶν καλῶν παρθένων, καὶ οὕτω αἱ εὔ-μορφοι τὰς ἀ-μόρφους καὶ ἐμπήρους ἐξ-εδίδοσαν· ἐκ-δοῦναι δὲ τὴν ἑαυτοῦ θυγατέρα (*daughter*) ᾧ τινι βούλοιτο ἕκαστος οὐκ ἐξ-ῆν. Herodotus, I. 196.

THE PNYX

From the speaker's stand seen in this picture, Pericles, Demosthenes, and other great statesmen addressed the Athenians on matters of public policy.

---

[1] Used as aorist passive of πωλέω.

LESSON LXXVI

SUMMARY OF SUBJUNCTIVE FORMS AND USES

ἃ δ' ἂν μάθῃ παῖς, ταῦτα σῴζεσθαι φιλεῖ πρὸς γῆρας.
What you learn as a boy, you will likely keep to old age.[1]

479. Forms of the Subjunctive. Review all subjunctive forms. Note that the stem is that of the corresponding tense of the indicative and that ω or η occurs in all its forms (except in -αω and -οω verbs).

480. Uses of the Subjunctive. Having clearly in mind the clues that indicate a subjunctive, review the possible uses of the subjunctive (§ 545, *b*). The subjunctive is essentially *hortatory* or *jussive*, and from these ideas almost all its uses are derived. Note the implication of vividness suggested by the subjunctive in a purpose clause or a clause of fear after a past tense. Fix clearly the difference in meaning conveyed by the present and aorist tenses (§ 546, *a* and *c*).

481. <center>**VOCABULARY**</center>

ἀθρόος, -ᾱ, -ον: *together, in a body.* Cf. ἀθροίζω.

ἀπο-στερέω, -στερήσω, -εστέρησα, -εστέρηκα, -εστέρημαι, -εστερήθην: *deprive, withhold.*

θόρυβος, -ου, ὁ: *noise, din, outcry.*

κάω (καίω), καύσω, ἔκαυσα, κέκαυκα, κέκαυμαι, ἐκαύθην: *burn.* CAUSTIC.

πολιορκέω, πολιορκήσω, ἐπολιόρκησα, πεπολιόρκηκα, πεπολιόρκημαι, ἐπολιορκήθην: *besiege.* Cf. πόλις.

τῑμωρέω, τῑμωρήσω, ἐτῑμώρησα, τετῑμώρηκα, τετῑμώρημαι, ἐτῑμωρήθην: *avenge;* mid., *exact vengeance, punish.*

---

[1] Euripides, *Supplices*, 916–917.

482.   **EXERCISES**

(*a*) Translate:

1. καύσωμεν οὖν τὰς ἁμάξας καὶ τὰ ἐπιτήδεια, ὅσων ἂν μὴ δεώμεθα.   2. μὴ ἀπο-στερήσῃς ἡμᾶς φίλους ὄντας τὴν ἡμετέραν ἐλευθερίαν.   3. ἀθρόοι ἴωμεν ὄρθιοι ἐπὶ τοὺς πελταστάς;   4. φοβοῦνται ἄρα μὴ πολιορκηθῇ ἡ ἑαυτῶν πόλις.   5. ἐὰν δὲ θόρυβον ἱστῆτε, παρ-όντας ὑμᾶς πεύσονται.   6. ὅστις ἂν ἑκὼν Κῦρον κακῶς ποιῇ, τῑμωρεῖσθαι πειρᾶται.   7. ἐὰν δὲ πρὸς ὕδωρ ἢ σῖτον ἀφ-ικνεῖσθαι βούληται, ὡς τάχιστα πορεύεται.   8. ταῦτα τοίνυν λέγω, ἵνα μὴ ἀναγκασθῆτε τὸν ἄνδρα τὸ λοιπὸν φυλάττειν.   9. μὴ νομίσητε ἐμὲ στρατηγεῖν, ἐὰν μὴ ὑμεῖς Κύρῳ ἕπεσθαι ἐθέλητε.

(*b*) Write in Greek:

1. Let us no longer besiege the city, if the commander does not give us our pay.   2. They (always) punish whoever speaks ill of Cyrus.   3. The women fear that there may be some noise.   4. The friends of the dead men will burn the village in order to exact vengeance.   5. What am I to say to the queen?

483.   **A FRIEND IN NEED**

φίλη Πειθοῖ, παρ-οῦσα σύμμαχος
πόει (π ο ί ει) κατ-ορθοῦν (*to prosper*) τοὺς λόγους, οὓς ἂν λέγω.

<div align="right">Menander, fragment.</div>

484.   **THE BEAM THAT IS IN THINE OWN EYE**

ὅταν τι μέλλῃς τὸν πέλας (*neighbor*) κακ-ηγορεῖν (*malign*),
αὐτὸς τὰ σαυτοῦ πρῶτον ἐπι-σκέπτου κακά.

<div align="right">Menander, fragment.</div>

κατάλογος ἐφήβων

This monument records the athletic and literary victories of two ephebic companies or clubs for a single year. It gives the names of the members, their officers, and the events for which each was "crowned."

260

485.   THE OATH OF THE EPHEBI [1]

οὐ κατ-αισχυνῶ (*disgrace*) ὅπλα τὰ ἱερά, οὐδὲ ἐγ-κατα-λείψω τὸν παρα-στάτην (compare ἵστημι), ὅτῳ ἂν στοιχήσω (*stand beside in battle*), ἀμυνῶ (*defend*) δὲ καὶ ὑπὲρ ἱερῶν, καὶ ὑπὲρ ὁσίων (*holy places*), καὶ μόνος καὶ μετὰ πολλῶν, τὴν πατρίδα δὲ οὐκ ἐλάσσω παρα-δώσω, πλείω δὲ καὶ ἀρείω [2] ὅσην ἂν παρα-δέξωμαι. καὶ εὐ-ηκοήσω (*obey*) τῶν ἀεὶ κρῑ-νόντων καὶ τοῖς θεσμοῖς (*laws*) τοῖς ἱδρυμένοις (*established*) πείσομαι καὶ οὕστινας ἂν ἄλλους τὸ πλῆθος [3] ἱδρύσηται · καὶ ἐάν τις ἀν-αιρῇ (*annul*) τοὺς θεσμούς, ἢ μὴ πείθηται, οὐκ ἐπι-τρέψω (*allow*), ἀμυνῶ δὲ καὶ μόνος καὶ μετὰ πάντων · καὶ ἱερὰ τὰ πάτρια (*the religion of my fathers*) τῑμήσω · Ἵστορες (*witnesses*) θεοὶ τούτων.

<div align="right">Stobæus, Florilegium, 43, 48.</div>

486.   THE FORGIVING SPIRIT

ἐὰν ἁμάρτῃ ὁ ἀδελφός σου, ἐπι-τίμησον (*rebuke*) αὐτῷ. καὶ ἐὰν μετα-νοήσῃ (*repent*), ἄφ-ες αὐτῷ · καὶ ἐὰν ἑπτά-κις τῆς ἡμέρᾱς ἁμαρτήσῃ εἰς σὲ καὶ ἑπτά-κις ἐπι-στρέψῃ πρὸς σὲ λέγων, Μετα-νοῶ, ἀφ-ήσεις αὐτῷ.

<div align="right">St. Luke, XVII. 3–4.</div>

487. Word-formation. Prepare a list of Greek derivatives used in some special field of interest, such as botany, zoölogy, politics, philosophy, religion, literature. Consult standard works in the particular field to discover the words. Study their formation in an unabridged English dictionary.

---

[1] This oath was taken by every Athenian lad of eighteen years, probably at the close of his first year of military training, when the State presented him with shield and spear.

[2] Comparative of ἀγαθός.

[3] *Commons* or *commonwealth*.

LESSON LXXVII

SUMMARY OF OPTATIVE FORMS AND USES

δεινὸν δ' ἐστὶν ἡ μὴ 'μπειρίᾱ. — *A fearful thing is inexperience.*[1]

488. Forms of the Optative. Review all optative forms. Note that the stem is that of the corresponding tense of the indicative and that ι occurs in all its forms.

489. Uses of the Optative. Having clearly in mind the clues that indicate an optative, review the possible uses of the optative (§ 545, c). The optative is essentially a *mood of futurity*, expressing a *wish in the future* or a *contingent future action*, and from these ideas almost all its uses are derived. Fix clearly the difference in meaning conveyed by the present and aorist tenses, both in indirect discourse and not in indirect discourse (§ 546, a and c).

490. **VOCABULARY**

βλάπτω, βλάψω, ἔβλαψα, βέβλαφα, βέβλαμμαι, ἐβλάφθην, ἐβλάβην : *harm, hinder.*

ἔμ-πειρος, -ον : *acquainted with.* Cf. πειράομαι. EMPIRICISM.

ἐν-θῡμέομαι, -θῡμήσομαι, -τεθῡμημαι, -εθῡμήθην : *have in mind, consider, reflect.*

ἴδιος, -ᾱ, -ον : *private, peculiar.* IDIOM, IDIOSYNCRASY.

πλέθρον, -ον, τό : *plethron* (100 ft.).

σημαίνω, σημανῶ, ἐσήμηνα, σεσήμασμαι, ἐσημάνθην : *give a signal, signify, betoken.* SEMANTIC, SEMAPHORE.

491. **EXERCISES**

(*a*) Translate :

1. ἀλλ' εἴ τις αὐτὸν βλάπτοι, ἐτῑμωρεῖτο. 2. τότε δὴ ἠρώτησεν εἰ δέοι τοὺς ἐμπείρους φθάνειν ὠνουμένους τὰ ἐπι-

---

[1] Aristophanes, *Ecclesiazusæ*, 115.

262

τήδεια.   3. τίς ἂν ταῦτα ἐνθυμούμενος ἔτι ἐκείνῳ ὀρθῶς πείθοιτο ;   4. εἰ γὰρ ἡμῖν δοίη ἡγεμόνα πιστόν.   5. εἰ τὸ τοῦ ποταμοῦ εὖρος τριῶν ἢ τεττάρων πλέθρων εἴη, δέοι ἂν πλοίοις χρῆσθαι.   6. ὅστις δὲ τοῖς ἰδίοις μὴ καλῶς χρήσαιτο, πῶς ἂν οὗτος οὐ βλάψειε τὰ ἑτέρου ;   7. ἐδεδοί- κεμεν δὲ μὴ ἐκεῖνος περὶ τοῦ στρατεύματος βασιλεῖ σημή- νειεν.   8. εἶπεν οὖν ὅτι οἱ φυγάδες εἰς τὸ ἴδιον κατα-θεῖντο αὑτοῖς τὰ χρήματα.

(b) Write in Greek:

1. May no one harm the children.   2. Clearchus said (εἶπε) that the sacrifices were favorable.   3. Who might deprive us of our freedom ?   4. In order to stop the noise, he gave the signal to march.   5. If you should consider these things (well), you would not burn the city.

492.   DURING THE TERROR

διᾰ-λαβόντες δὲ τὰς οἰκίᾱς ἔβαινον. καὶ ἐμὲ μὲν ξένους ἑστιῶντα (feasting) κατ-έλαβον, οὓς ἐξ-ελάσαντες Πείσωνί με παρα-διδόᾱσιν· οἱ δ᾽ ἄλλοι εἰς τὸ ἐργαστήριον (compare ἔργον) ἐλθόντες τὰ ἀνδράποδα (slaves) εἷλον. ἐγὼ δὲ Πεί- σωνα μὲν ἠρώτων εἰ βούλοιτό με σῶσαι χρήματα λαβών. ὁ δ᾽ ἔφη, εἰ πολλὰ εἴη. εἶπον οὖν ὅτι τάλαντον ἀργυρίου ἐθέλοιμι δοῦναι. ὁ δ᾽ ὡμολόγησε ταῦτα ποιήσειν. ἐγὼ δ᾽ εἰσ-ελθὼν εἰς τὸ δωμάτιον (bedroom) τὴν κῐβωτὸν (chest) ἀν-οίγνῡμι (open up)· Πείσων δ᾽ αἰσθόμενος εἰσ-έρχεται, καὶ ἰδὼν τὰ ἐν-όντα καλεῖ τῶν ὑπ-ηρετῶν (servants) δύο καὶ τὰ ἐν τῇ κῑβωτῷ λαβεῖν ἐκέλευσεν. ἐπεὶ δὲ τρία τάλαντα εἶχεν ἀργυρίου καὶ ἄλλα πολλά, ἐδεόμην αὐτοῦ ἐφ-όδιά (= τὰ ἐπὶ τὴν ὁδόν) μοι δοῦναι. ὁ δ᾽ εὐ-τυχήσειν (compare τυγχάνω) μ᾽ ἔφη, εἰ τὸ σῶμα σώσω. ἔμ-πειρος μὲν οὖν ὢν ἐτύγχανον τῆς οἰκίᾱς καὶ ᾔδη ὅτι ἀμφί-θυρος εἴη· ἐδόκει οὖν ταύτῃ πειρᾶσθαι σωθῆναι· ἐν-εθῡμούμην γὰρ ὅτι ἐὰν μὲν

λάθω, σωθήσομαι, ἐὰν δὲ ληφθῶ, ὁμοίως ἀπο-θανοῦμαι. ὥστε ἔφευγον, ἐκείνων ἐπὶ τῇ αὐλείῳ (*courtyard*, that is, *street*) θύρᾳ τὴν φυλακὴν ποιουμένων· τριῶν δὲ θυρῶν οὐσῶν, ἃς ἔδει με δι-ελθεῖν, ἅπᾱσαι ἀν-εῳγμέναι ἔτυχον.

Adapted from Lysias, *Eratosthenes*, 8–16.

Βουλευτήριον

This attractive little Senate House recently unearthed at Messene reminds us that the ancient Greeks preferred sunshine to stuffy halls.

493. Word-formation. Nouns in -τηριον denote place:

βουλή   *senate,* βουλευτής   *senator,* βουλευτήριον   *senate house;*
ἔργον   *work,* ἐργαστής   *workman,* ἐργαστήριον   *workshop;*
κοιμάω   *put to sleep,* κοιμητήριον   *sleeping place,* CEMETERY.

Ὅμηρος

LESSON LXXVIII

SUMMARY OF IMPERATIVE FORMS AND USES

θεῖος Ὅμηρος. — *Divine Homer.*[1]

494. Forms of the Imperative. Review all imperative forms. Note that the stem is that of the corresponding tense of the indicative, and that some of the clues are: -ε (stem being without augment), -θι (or -τι), -τω, -σθω, -ντων, -σθων.

495. Uses of the Imperative. Having clearly in mind the clues that indicate an imperative, review the possible uses of the imperative (§ 545, *d*). The imperative expresses a *command* or a *prohibition*. Note, however, that instead of an aorist imperative to express prohibition usually the aorist subjunctive is used. Fix clearly the difference in meaning conveyed by the present and aorist tenses (§ 546, *a* and *c*).

---

[1] Aristophanes, *Frogs*, 1034.

265

496.   VOCABULARY

βασιλεία, -ᾱς, ἡ : *kingdom.*[1] Cf.
βασίλειος.

κοινός, -ή, -όν : *common.*

νόμος, -ου, ὁ : *usage, law.* Cf.
νομίζω. DEUTERONOMY.

οἴομαι, οἰήσομαι, ᾠήθην : *think,
suppose.*

παρα-βαίνω; *transgress.* Cf. Lat.
transgredior.

πούς, ποδός, ὁ : *foot, leg.* OCTOPUS.

ὑπο-ζύγιον, -ου, τό : *beast of bur-
den.* Cf. ζεύγνῡμι.

497.   EXERCISES

(*a*) Translate :

1. ἀλλ' ὅστις ἂν τοὺς νόμους παρα-βαίνῃ, τὴν δίκην δότω.
2. τὰ ὑπο-ζύγια τοίνυν εἰς τὸ στρατόπεδον ἄγετε, μὴ χαλε-
πὸν γένηται αὐτὰ λαβεῖν. 3. μήδ' οἴου με στρατηγὸν ἂν
γενέσθαι, εἰ μὴ πάντες ἄλλοι ἐτρώθησαν. 4. ὦ ἄνδρες
στρατιῶται, τὰ ὅπλα λαβόντες περὶ τὴν ἐμὴν σκηνὴν κύκλῳ
θέσθε. 5. μὴ αἰτιάσησθε τοὺς πελταστὰς ὅτι οὐκ ἐν
τάξει μένοντες τοὺς πολεμίους ἐδέχοντο. 6. πάντα τὰ
κοινὰ εἰς πλοῖα θῶμεν καὶ ἀπο-πλέωμεν. 7. τὸν αὐτὸν
ὅρκον καὶ ὑμεῖς ὄμνυτε. 8. ὁπλίζου οὖν ὡς τάχιστα καὶ
ἴθι εἰς τὸ πρόσθεν.

(*b*) Write in Greek:

1. Do not be supposing that he is going willingly.
2. Let us proceed in a circle until we see them signal.
3. Do not transgress the law.   4. Give them as many
beasts of burden as they want.   5. Let them put their
common belongings (*things*) into the ship.

498.   THE LORD'S PRAYER

The New Testament was written in a dialect called the
κοινή or "*vulgar*," that is, "*common.*" This dialect was
the result of changes which Greek underwent after the

---

[1] Do not confuse with τὰ βασίλεια *palace*, or ἡ βασίλεια *queen.*

conquests of Alexander had made it the international language. When we reflect that four hundred years had elapsed between the close of the "classic" age and the writing of the New Testament, the wonder is that the changes were not more numerous.

The passage here printed is so familiar in English that to supply a translation seems unnecessary. See how much you can understand without turning to the general vocabulary.

> Οὕτως οὖν προσ-εύχεσθε ὑμεῖς
> Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς ·
> Ἁγιασθήτω τὸ ὄνομά σου,
> ἐλθάτω ἡ βασιλείᾱ σου,
> γενηθήτω τὸ θέλημά σου,
>   ὡς ἐν οὐρανῷ καὶ ἐπὶ γῆς ·
> Τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον
>   δὸς ἡμῖν σήμερον.
> καὶ ἄφ-ες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν,
>   ὡς καὶ ἡμεῖς ἀφ-ήκαμεν τοῖς ὀφειλέταις ἡμῶν ·
> καὶ μὴ εἰσ-ενέγκῃς ἡμᾶς εἰς πειρασμόν,
>   ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ.

St. Matthew, VI. 9–12.

Identify all imperatives and imperatival expressions in this passage.

499.   FATHER AND SON

Homer's Iliad is the world's first and greatest epic. It tells the events of a few days in the tenth year of a war waged by Greeks around the walls of Troy. But more than that, it is an epic of human life.

One of the unforgettable scenes, true to the life of all

ages, is the parting of Hector, chief warrior of the Trojans, from his wife and child.   A detail of the scene follows.

At first the child shrinks back with a shriek, being frightened by his father's gorgeous helmet.   With a laugh Hector removes the helmet and the child comes to him.

. . . ὅ γ᾽ ὃν (= τὸν) φίλον υἱὸν ἐπεὶ κύσε (*kissed*) πῆλέ
    (*tossed*) τε χερσίν,
εἶπεν ἐπ-ευξάμενος Διί τ᾽ ἄλλοισίν τε θεοῖσιν (θεοῖς) ·
   Ζεῦ ἄλλοι τε θεοί, δότε δὴ καὶ τόνδε γενέσθαι
παῖδ᾽ ἐμόν, ὡς καὶ ἐγώ περ, ἀριπρεπέα (*eminent*) Τρώεσσιν,

THE PARTING OF HECTOR AND ANDROMACHE

ὧδε βίην (βίαν) τ᾽ ἀγαθὸν καὶ Ἰλίου ἶφι (*mightily*) ἀνάσσειν.
καί ποτέ τις εἴποι, πατρός γ᾽ ὅδε πολλὸν (πολὺ) ἀμείνων.
ἐκ πολέμου ἀν-ιόντα · φέροι δ᾽ ἔναρα (*spoils*) βροτόεντα
κτείνᾱς δήιον (*foe-*) ἄνδρα, χαρείη (*be glad*) δὲ φρένα[1] (*heart*)
   μήτηρ.   Homer, *Iliad*, VI. 474–481.

---

[1] Page 144, note 2.

500. The Iliad has had an incalculable influence on the literature of the world. It has been read in the schools by boys of all nations from the earliest days of Greece to the present time. Greek poets quoted it, Latin poets borrowed from it, most modern poets have attempted to translate it. Keats bears eloquent testimony to his own feelings:

ON FIRST LOOKING INTO CHAPMAN'S HOMER

Much have I travell'd in the realms of gold,
  And many goodly states and kingdoms seen;
  Round many western islands have I been
Which bards in fealty to Apollo hold.
Oft of one wide expanse had I been told
  That deep-brow'd Homer ruled as his demesne:
  Yet did I never breathe its pure serene
Till I heard Chapman speak out loud and bold :
Then felt I like some watcher of the skies
  When a new planet swims into his ken;
Or like stout Cortez when with eagle eyes
  He star'd at the Pacific — and all his men
Look'd at each other with a wild surmise —
  Silent, upon a peak in Darien.

LESSON LXXIX

SUMMARY OF INDICATIVE FORMS AND USES

Ζεὺς σωτὴρ καὶ νίκη. — *Zeus, saviour, and Victory.*[1]

501. Forms of the Indicative. Review all indicative forms. Unless an indication of some other mood occurs,

Ewing Galloway.

THE TEMPLE OF THE WINGLESS VICTORY

it is well to assume that the form is indicative. Context may suggest at once that the indicative is the only possible mood. Augment, except where used instead of reduplica-

---

[1] Xenophon, *Anabasis*, I. 8. 16. This was the watch-word of the Greeks at the battle of Cunaxa.

270

tion, suggests a past tense of the indicative. A simple
o or ε before the personal ending is usually (not always)
another clue to an indicative.

502. Uses of the Indicative. Having clearly in mind the
forms of the indicative, review its possible uses (§ 545, *a*).
The indicative essentially *declares a fact*, asks a question
that anticipates such a declaration, or conveys an excla-
mation. Variation of use in main and subordinate clauses
must be learned. Note the implication of an indicative in
indirect discourse after past tenses. Fix clearly the dif-
ference in meaning conveyed by the tenses, especially
the present, imperfect, and aorist (§ 546).

503.   **VOCABULARY**

κάθημαι, pres. and imperf.[1] only:
    sit down, be seated.
    CATHEDRAL.
ὅσ-περ, ἥ-περ, ὅ-περ, intensive
    form of ὅς, ἥ, ὅ. Cf. ὥσ-περ.
πίμπλημι, πλήσω, ἔπλησα, πέ-
    πληκα, πέπλημαι or πέπλησμαι,

ἐπλήσθην: *fill,* with G. of the
    thing. Cf. πλή-ρης, πλῆ-θος.
πλευρά, -ᾶς, ἡ : *rib, side.*
    PLEURISY.
σπένδομαι, ἐσπεισάμην, ἔσπεισμαι :
    *pour libation for oneself, make a
    treaty.* Cf. σπονδαί.

504.   **EXERCISES**

(*a*) Translate:

1. τότε δὴ ἀθρόοι ἐκαθήμεθα θαυμάζοντες ὅτι σίτου οὔπω
ἔπλησαν τὸ πλοῖον.   2. κατα-στὰς εἰς τὴν βασιλείαν
πρὸς τοὺς ἐναντίους ἐσπείσατο.   3. ἐπεὶ οὖν συν-εβουλεύετό
μοι, τοῦ μάντεως ἠμέλησα.   4. ἀλλ᾽ εἰ μὴ ἔπλησαν
ὁπλιτῶν πᾶσαν τὴν ὁδόν, οὐκ ἂν ἐσπεισάμεθα.   5. εἰ
γὰρ οἱ Ἕλληνες μὴ ἐπίστευσαν τῷ βαρβάρῳ, ὅσπερ αὐτοὺς
ἀπ-εστέρησε τῶν χρημάτων.   6. ἡ δὲ μήτηρ, ἥπερ καὶ
ἀπ-έλῦσεν αὐτὸν ἀπὸ τῶν κινδύνων, συν-έπραττε ταῦτα.

---

[1] Imperfect, ἐκαθήμην or καθήμην.

7. ἀλλὰ ἐδεδαπάνητο τὰ χρήματα, ὥστε οὐκ ἐδύνατο ὠνεῖσθαι τὰ ὑποζύγια.   8. ἐπι-μελησόμεθα τοίνυν ὅπως ὡς ἄριστα ἀπο-θανούμεθα.

(*b*) Write in Greek:

1. Who is seeing to it that the citizens choose a good ruler? 2. If he had not given the signal to start, I should still be seated.   3. Cyrus paid (them) with the result that the Greeks were again willing to follow him.   4. He did not cease doing wrong until he himself had suffered many ills. 5. Would that the people of the village had filled the boat with food.

505.   LEARNING IS BUT RECOLLECTION

One of Plato's most famous doctrines is that of ἀνά-μνησις *recollection*.   The soul in its previous existence in the spirit world knows all things perfectly.   At birth, it loses that perfect knowledge and only recovers it by dint of effort.

Καὶ μήν, ἔφη ὁ Κέβης, ὦ Σώκρατες, εἰ ἀληθής ἐστιν ὁ λόγος ὃν σὺ λέγεις, ὅτι ἡμῖν ἡ μάθησις οὐκ ἄλλο τι ἢ ἀνά-μνησις τυγχάνει οὖσα, ἀνάγκη που ἡμᾶς ἐν προτέρῳ τινὶ χρόνῳ μεμαθηκέναι ἃ νῦν ἀνα-μιμνησκόμεθα. τοῦτο δὲ ἀδύνατον, εἰ μὴ ἦν που ἡμῶν ἡ ψῡχὴ πρὶν ἐν τῷδε τῷ ἀνθρωπίνῳ σώματι γενέσθαι · ὥστε οὕτως ἀθάνατόν τι δοκεῖ ἡ ψῡχὴ εἶναι. Ἀλλ᾽, ὦ Κέβης, ἔφη ὁ Σιμμίᾱς, ποῖαι τούτων αἱ ἀπο-δείξεις (compare ἀπο-δείκνῡμι); ὑπό-μνησόν με · οὐ γὰρ πάνυ ἐν τῷ παρ-όντι μέμνημαι. Ἑνὶ μὲν λόγῳ, ἔφη ὁ Κέβης, καλλίστῳ, ὅτι ἐρωτώμενοι οἱ ἄνθρωποι, ἐάν τις καλῶς ἐρωτᾷ, αὐτοὶ λέγουσι πάντα ὅπως ἔχει · καίτοι εἰ μὴ ἐτύγχανεν αὐτοῖς ἐπιστήμη (*knowledge*) ἐν-οῦσα καὶ ὀρθὸς λόγος, οὐκ ἂν οἷοί τ᾽ ἦσαν τοῦτο ποιῆσαι.

Adapted from Plato, *Phædo*, XVIII. 72E–73A.

Compare these lines from Wordsworth's Ode, *Intimations of Immortality*:

Our birth is but a sleep and a forgetting:
The Soul that rises with us, our life's star,
   Hath had elsewhere its setting,
      And cometh from afar:
Not in entire forgetfulness,
And not in utter nakedness,
But trailing clouds of glory do we come
   From God, who is our home.

506.   **WHAT IS TRUTH?**

ἡ περὶ τῆς ἀληθείᾱς (compare **ἀληθής**) θεωρίᾱ (*inquiry*) τῇ μὲν χαλεπὴ τῇ δὲ ῥᾳδίᾱ · σημεῖον (compare **σημαίνω**) δὲ τὸ μήτε ἀξίως μηδένα δύνασθαι τυχεῖν αὐτῆς μήτε πάντως ἀπο-τυγχάνειν ἀλλὰ ἕκαστον λέγειν τι περὶ τῆς φύσεως, ἐκ πάντων δὲ συν-αθροιζομένων γίγνεσθαί τι μέγεθος (compare **μέγας**).   Aristotle, *Metaphysics*, 993. A. 30.   (Carved on the façade of the National Academy of Sciences, Washington, D. C.)

Courtesy National Academy of Sciences.

SEEKERS OF THE TRUTH

GRAMMATICAL APPENDIX
AND
DICTIONARY OF PROPER NAMES

GRAMMATICAL APPENDIX

NOUNS

507.   A-DECLENSION

(a) Feminines

S. N. V.	στρατιά	χώρᾱ	σκηνή	κώμη	μάχη	γέφῡρα	ἅμαξα
G.	στρατιᾶς	χώρᾱς	σκηνῆς	κώμης	μάχης	γεφύρᾱς	ἁμάξης
D.	στρατιᾷ	χώρᾳ	σκηνῇ	κώμῃ	μάχῃ	γεφύρᾳ	ἁμάξῃ
A.	στρατιάν	χώρᾱν	σκηνήν	κώμην	μάχην	γέφῡραν	ἅμαξαν
D. N. A. V.	στρατιά	χώρᾱ	σκηνά	κώμᾱ	μάχᾱ	γεφύρᾱ	ἁμάξᾱ
G. D.[1]	στρατιαῖν	χώραιν	σκηναῖν	κώμαιν	μάχαιν	γεφύραιν	ἁμάξαιν
P. N. V.	στρατιαί	χῶραι	σκηναί	κῶμαι	μάχαι	γέφῡραι	ἅμαξαι
G.	στρατιῶν	χωρῶν	σκηνῶν	κωμῶν	μαχῶν	γεφῡρῶν	ἁμαξῶν
D.	στρατιαῖς	χώραις	σκηναῖς	κώμαις	μάχαις	γεφύραις	ἁμάξαις
A.	στρατιάς	χώρᾱς	σκηνάς	κώμᾱς	μάχᾱς	γεφύρᾱς	ἁμάξᾱς

(b) Masculines

S. N.	Ξενίᾱς	στρατιώτης	πελταστής
G.	Ξενίου	στρατιώτου	πελταστοῦ
D.	Ξενίᾳ	στρατιώτῃ	πελταστῇ
A.	Ξενίᾱν	στρατιώτην	πελταστήν
V.	Ξενίᾱ	στρατιῶτα	πελταστά
D. N. A. V.		στρατιώτᾱ	πελταστά
G. D.		στρατιώταιν	πελτασταῖν
P. N. V.		στρατιῶται	πελτασταί
G.		στρατιωτῶν	πελταστῶν
D.		στρατιώταις	πελτασταῖς
A.		στρατιώτᾱς	πελταστάς

---

[1] In the *dual*, but two forms occur, the one serving as either nominative, accusative, or vocative, the other as either genitive or dative. The dual number is generally restricted in usage to two persons or things that form a natural pair. It is uncommon except in epic poetry.

275

(c) Contract Nouns

S. N.	(γέᾱ)	γῆ, ἡ	('Ερμέᾱς)	'Ερμῆs, ὁ
G.	(γέᾱs)	γῆs	('Ερμέου)	'Ερμοῦ
D.	(γέᾳ)	γῇ	('Ερμέᾳ)	'Ερμῇ
A.	(γέᾱν)	γῆν	('Ερμέᾱν)	'Ερμῆν
V.	(γέᾱ)	γῆ	('Ερμέᾱ)	'Ερμῆ
D. N. A. V.			('Ερμέᾱ)	'Ερμᾶ
G. D.			('Ερμέαιν)	'Ερμαῖν
P. N. V.			('Ερμέαι)	'Ερμαῖ
G.			('Ερμεῶν)	'Ερμῶν
D.			('Ερμέαις)	'Ερμαῖs
A.			('Ερμέᾱs)	'Ερμᾶs

508.   O-DECLENSION

(a) Masculines

S. N.	ποταμός	φίλος	ἄνθρωπος	οἶνος
G.	ποταμοῦ	φίλου	ἀνθρώπου	οἴνου
D.	ποταμῷ	φίλῳ	ἀνθρώπῳ	οἴνῳ
A.	ποταμόν	φίλον	ἄνθρωπον	οἶνον
V.	ποταμέ	φίλε	ἄνθρωπε	οἶνε
D. N. A. V.	ποταμώ	φίλω	ἀνθρώπω	οἴνω
G. D.	ποταμοῖν	φίλοιν	ἀνθρώποιν	οἴνοιν
P. N. V	ποταμοί	φίλοι	ἄνθρωποι	οἶνοι
G.	ποταμῶν	φίλων	ἀνθρώπων	οἴνων
D.	ποταμοῖs	φίλοις	ἀνθρώποις	οἴνοις
A.	ποταμούs	φίλους	ἀνθρώπουs	οἴνους

(b) Neuters   (c) Contract Noun

S. N.	παλτόν	πεδίον	δῶρον	(νόος)	νοῦs, ὁ
G.	παλτοῦ	πεδίου	δώρου	(νόου)	νοῦ
D.	παλτῷ	πεδίῳ	δώρῳ	(νόῳ)	νῷ
A.	παλτόν	πεδίον	δῶρον	(νόον)	νοῦν
V.	παλτόν	πεδίον	δῶρον	(νόε)	νοῦ
D. N. A. V.	παλτώ	πεδίω	δώρω	(νόω)	νώ
G. D.	παλτοῖν	πεδίοιν	δώροιν	(νόοιν)	νοῖν
P. N. V.	παλτά	πεδία	δῶρα	(νόοι)	νοῖ
G.	παλτῶν	πεδίων	δώρων	(νόων)	νῶν
D.	παλτοῖs	πεδίοις	δώροις	(νόοις)	νοῖς
A.	παλτά	πεδία	δῶρα	(νόους)	νοῦs

509. CONSONANT DECLENSION

(a) Π-mute and K-mute Stems

S. N. V.	κλώψ, ὁ	κῆρυξ, ὁ	φάλαγξ, ἡ	Θρᾷξ, ὁ
G.	κλωπός	κήρῡκος	φάλαγγος	Θρᾳκός
D.	κλωπί	κήρῡκι	φάλαγγι	Θρᾳκί
A.	κλῶπα	κήρῡκα	φάλαγγα	Θρᾷκα
D. N. A. V.	κλῶπε	κήρῡκε	φάλαγγε	Θρᾷκε
G. D.	κλωποῖν	κηρύκοιν	φαλάγγοιν	Θρᾳκοῖν
P. N. V.	κλῶπες	κήρῡκες	φάλαγγες	Θρᾷκες
G.	κλωπῶν	κηρύκων	φαλάγγων	Θρᾳκῶν
D.	κλωψί	κήρυξι	φάλαγξι	Θρᾳξί
A.	κλῶπας	κήρῡκας	φάλαγγας	Θρᾷκας

(b) T-mute Stems

S. N. V.	ἀσπίς, ἡ	χάρις, ἡ	πούς, ὁ	νύξ, ἡ	ἄρχων, ὁ	ἄρμα, τό
G.	ἀσπίδος	χάριτος	ποδός	νυκτός	ἄρχοντος	ἄρματος
D.	ἀσπίδι	χάριτι	ποδί	νυκτί	ἄρχοντι	ἄρματι
A.	ἀσπίδα	χάριν	πόδα	νύκτα	ἄρχοντα	ἄρμα
D. N. A. V.	ἀσπίδε	χάριτε	πόδε	νύκτε	ἄρχοντε	ἄρματε
G. D.	ἀσπίδοιν	χαρίτοιν	ποδοῖν	νυκτοῖν	ἀρχόντοιν	ἁρμάτοιν
P. N. V.	ἀσπίδες	χάριτες	πόδες	νύκτες	ἄρχοντες	ἄρματα
G.	ἀσπίδων	χαρίτων	ποδῶν	νυκτῶν	ἀρχόντων	ἁρμάτων
D.	ἀσπίσι	χάρισι	ποσί	νυξί	ἄρχουσι	ἄρμασι
A.	ἀσπίδας	χάριτας	πόδας	νύκτας	ἄρχοντας	ἄρματα

(c) Liquid Stems

S. N.	ἀγών, ὁ	ἡγεμών, ὁ	Ἕλλην, ὁ	ῥήτωρ, ὁ
G.	ἀγῶνος	ἡγεμόνος	Ἕλληνος	ῥήτορος
D.	ἀγῶνι	ἡγεμόνι	Ἕλληνι	ῥήτορι
A.	ἀγῶνα	ἡγεμόνα	Ἕλληνα	ῥήτορα
V.	ἀγών	ἡγεμών	Ἕλλην	ῥῆτορ
D. N. A. V.	ἀγῶνε	ἡγεμόνε	Ἕλληνε	ῥήτορε
G. D.	ἀγώνοιν	ἡγεμόνοιν	Ἑλλήνοιν	ῥητόροιν
P. N. V.	ἀγῶνες	ἡγεμόνες	Ἕλληνες	ῥήτορες
G.	ἀγώνων	ἡγεμόνων	Ἑλλήνων	ῥητόρων
D.	ἀγῶσι	ἡγεμόσι	Ἕλλησι	ῥήτορσι
A.	ἀγῶνας	ἡγεμόνας	Ἕλληνας	ῥήτορας

(d) Syncopated Liquid Stems

S. N.		πατήρ, ὁ		μήτηρ, ἡ		ἀνήρ, ὁ
G.	(πατέρ-ος)	πατρός	(μητέρ-ος)	μητρός	(ἀνέρ-ος)	ἀνδρός
D.	(πατέρ-ι)	πατρί	(μητέρ-ι)	μητρί	(ἀνέρ-ι)	ἀνδρί
A.		πατέρα		μητέρα	(ἀνέρ-α)	ἄνδρα
V.		πάτερ		μῆτερ		ἄνερ
D. N. A. V.		πατέρε		μητέρε	(ἀνέρ-ε)	ἄνδρε
G. D.		πατέροιν		μητέροιν	(ἀνέρ-οιν)	ἀνδροῖν
P. N. V.		πατέρες		μητέρες	(ἀνέρ-ες)	ἄνδρες
G.		πατέρων		μητέρων	(ἀνέρ-ων)	ἀνδρῶν
D.		πατράσι		μητράσι		ἀνδράσι
A.		πατέρας		μητέρας	(ἀνέρ-ας)	ἄνδρας

(e) Stems in σ

S. N.		γένος, τό		τριήρης, ἡ			κέρας, τό
G.	(γένεος)	γένους	(τριήρε-ος)	τριήρους	κέρᾶτος	(κέραος)	κέρως
D.	(γένεϊ)	γένει	(τριήρε-ϊ)	τριήρει	κέρᾱτι	(κέραϊ)	κέραι
A.		γένος	(τριηρε-α)	τριήρη			κέρας
V.		γένος		τριῆρες			κέρας
D. N. A. V.	(γένεε)	γένει	(τριήρε-ε)	τριήρει	κέρᾱτε	(κέραε)	κέρᾱ
G. D.	(γενέοιν)	γενοῖν	(τριηρέ-οιν)	τριήροιν	κεράτοιν	(κεράοιν)	κερῷν
P. N. V.	(γένεα)	γένη	(τριήρε-ες)	τριήρεις	κέρᾱτα	(κέραα)	κέρᾱ
G.	γενέων	γενῶν	(τριηρέ-ων)	τριήρων	κερᾱ́των	(κεράων)	κερῶν
D.		γένεσι		τριήρεσι		κέρᾱσι	
A.	(γένεα)	γένη		τριήρεις	κέρᾱτα	(κέραα)	κέρᾱ

(f) Stems in ι and υ

S. N.		πόλις, ἡ		ἄστυ, τό	ἰχθύς, ὁ
G.		πόλεως		ἄστεως	ἰχθύος
D.	(πόλε-ϊ)	πόλει	(ἄστε-ϊ)	ἄστει	ἰχθύϊ
A.		πόλιν		ἄστυ	ἰχθύν
V.		πόλι		ἄστυ	ἰχθύ
D. N. A. V.	(πόλε-ε)	πόλει	(ἄστε-ε)	ἄστει	ἰχθύε
G. D.		πολέοιν		ἀστέοιν	ἰχθύοιν
P. N. V.	(πόλε-ες)	πόλεις	(ἄστε-α)	ἄστη	ἰχθύες
G.		πόλεων		ἄστεων	ἰχθύων
D.		πόλεσι		ἄστεσι	ἰχθύσι
A.		πόλεις	(ἄστε-α)	ἄστη	ἰχθῦς

(g) Stems in a Diphthong

S. N.	βασιλεύς, ὁ	βοῦς, ὁ or ἡ	ναῦς, ἡ
G.	βασιλέως	βοός	νεώς
D.	βασιλεῖ	βοΐ	νηΐ
A.	βασιλέᾱ	βοῦν	ναῦν
V.	βασιλεῦ	βοῦ	ναῦ
D. N. A. V.	βασιλῆ	βόε	νῆε
G. D.	βασιλέοιν	βοοῖν	νεοῖν
P. N. V.	(βασιλέ-ες) βασιλεῖς	βόες	νῆες
G.	βασιλέων	βοῶν	νεῶν
D.	βασιλεῦσι	βουσί	ναυσί
A.	βασιλέᾱς	βοῦς	ναῦς

GODS FROM THE PARTHENON

This slab occupies a central place in the famous Parthenon frieze. The three deities, Poseidon, Apollo, and Artemis, seem to be watching the approach of the procession that is the motive of the frieze.

ADJECTIVES

510. A- AND O-DECLENSION

(a) Three Endings

	M.	F.	N.	M.	F.	N.
S. N.	ἀγαθός	ἀγαθή	ἀγαθόν	ἄξιος	ἀξίᾱ	ἄξιον
G.	ἀγαθοῦ	ἀγαθῆς	ἀγαθοῦ	ἀξίου	ἀξίᾱς	ἀξίου
D.	ἀγαθῷ	ἀγαθῇ	ἀγαθῷ	ἀξίῳ	ἀξίᾳ	ἀξίῳ
A.	ἀγαθόν	ἀγαθήν	ἀγαθόν	ἄξιον	ἀξίᾱν	ἄξιον
V.	ἀγαθέ	ἀγαθή	ἀγαθόν	ἄξιε	ἀξίᾱ	ἄξιον
D. N. A. V.	ἀγαθώ	ἀγαθά	ἀγαθώ	ἀξίω	ἀξίᾱ	ἀξίω
G. D.	ἀγαθοῖν	ἀγαθαῖν	ἀγαθοῖν	ἀξίοιν	ἀξίαιν	ἀξίοιν
P. N. V.	ἀγαθοί	ἀγαθαί	ἀγαθά	ἄξιοι	ἄξιαι	ἄξια
G.	ἀγαθῶν	ἀγαθῶν	ἀγαθῶν	ἀξίων	ἀξίων	ἀξίων
D.	ἀγαθοῖς	ἀγαθαῖς	ἀγαθοῖς	ἀξίοις	ἀξίαις	ἀξίοις
A.	ἀγαθούς	ἀγαθάς	ἀγαθά	ἀξίους	ἀξίᾱς	ἄξια

	M.	F.	N.	M.	F.	N.
S. N.	μῑκρός	μῑκρά	μῑκρόν	δῆλος	δήλη	δῆλον
G.	μῑκροῦ	μῑκρᾶς	μῑκροῦ	δήλου	δήλης	δήλου
		κ.τ.λ.			κ.τ.λ.	
P. N. V.	μῑκροί	μῑκραί	μῑκρά	δῆλοι	δῆλαι	δῆλα
G.	μῑκρῶν	μῑκρῶν	μῑκρῶν	δήλων	δήλων	δήλων
		κ.τ.λ.			κ.τ.λ.	

280

(b) Two Endings

	M. AND F.	N.
S. N.	ἀδιάβατος	ἀδιάβατον
G.	ἀδιαβάτου	ἀδιαβάτου
D.	ἀδιαβάτῳ	ἀδιαβάτῳ
A.	ἀδιάβατον	ἀδιάβατον
V.	ἀδιάβατε	ἀδιάβατον

D. N. A. V.	ἀδιαβάτω	ἀδιαβάτω
G. D.	ἀδιαβάτοιν	ἀδιαβάτοιν

P. N. V.	ἀδιάβατοι	ἀδιάβατα
G.	ἀδιαβάτων	ἀδιαβάτων
D.	ἀδιαβάτοις	ἀδιαβάτοις
A.	ἀδιαβάτους	ἀδιάβατα

(c) Contract Adjectives

	M.		F.		N.	
S. N.	(χρύσεος)	χρῡσοῦς	(χρῡσέα)	χρῡσῆ	(χρύσεον)	χρῡσοῦν
G.	(χρῡσέου)	χρῡσοῦ	(χρῡσέᾱς)	χρῡσῆς	(χρῡσέου)	χρῡσοῦ
D.	(χρῡσέῳ)	χρῡσῷ	(χρῡσέᾳ)	χρῡσῇ	(χρῡσέῳ)	χρῡσῷ
A.	(χρύσεον)	χρῡσοῦν	(χρῡσέᾱν)	χρῡσῆν	(χρύσεον)	χρῡσοῦν

D. N. A.	(χρῡσέω)	χρῡσώ	(χρῡσέα)	χρῡσᾶ	(χρῡσέω)	χρῡσώ
G. D.	(χρῡσέοιν)	χρῡσοῖν	(χρῡσέαιν)	χρῡσαῖν	(χρῡσέοιν)	χρῡσοῖν

P. N.	(χρύσεοι)	χρῡσοί	(χρύσεαι)	χρῡσαί	(χρύσεα)	χρῡσᾶ
G.	(χρῡσέων)	χρῡσῶν	(χρῡσέων)	χρῡσῶν	(χρῡσέων)	χρῡσῶν
D.	(χρῡσέοις)	χρῡσοῖς	(χρῡσέαις)	χρῡσαῖς	(χρῡσέοις)	χρῡσοῖς
A.	(χρῡσέους)	χρῡσοῦς	(χρῡσέᾱς)	χρῡσᾶς	(χρύσεα)	χρῡσᾶ

511.   Consonant and A-Declension

	M.	F.	N.	M.	F.	N.
S. N.	χαρίεις	χαρίεσσα	χαρίεν	πᾶς	πᾶσα	πᾶν
G.	χαρίεντος	χαριέσσης	χαρίεντος	παντός	πάσης	παντός
D.	χαρίεντι	χαριέσσῃ	χαρίεντι	παντί	πάσῃ	παντί
A.	χαρίεντα	χαρίεσσαν	χαρίεν	πάντα	πᾶσαν	πᾶν
V.	χαρίεν	χαρίεσσα	χαρίεν	πᾶν	πᾶσα	πᾶν
D. N. A. V.	χαρίεντε	χαριέσσᾱ	χαρίεντε			
G. D.	χαριέντοιν	χαριέσσαιν	χαριέντοιν			
P. N. V.	χαρίεντες	χαρίεσσαι	χαρίεντα	πάντες	πᾶσαι	πάντα
G.	χαριέντων	χαριεσσῶν	χαριέντων	πάντων	πᾶσῶν	πάντων
D.	χαρίεσι	χαριέσσαις	χαρίεσι	πᾶσι	πᾶσαις	πᾶσι
A.	χαρίεντας	χαριέσσᾱς	χαρίεντα	πάντας	πᾶσᾱς	πάντα

	M.	F.	N.	M.	F.	N.
S. N.	ἑκών	ἑκοῦσα	ἑκόν	μέλᾱς	μέλαινα	μέλαν
G.	ἑκόντος	ἑκούσης	ἑκόντος	μέλανος	μελαίνης	μέλανος
D.	ἑκόντι	ἑκούσῃ	ἑκόντι	μέλανι	μελαίνῃ	μέλανι
A.	ἑκόντα	ἑκοῦσαν	ἑκόν	μέλανα	μέλαιναν	μέλαν
V.	ἑκών	ἑκοῦσα	ἑκόν	μέλαν	μέλαινα	μέλαν
D. N. A. V.	ἑκόντε	ἑκούσᾱ	ἑκόντε	μέλανε	μελαίνᾱ	μέλανε
G. D.	ἑκόντοιν	ἑκούσαιν	ἑκόντοιν	μελάνοιν	μελαίναιν	μελάνοιν
P. N. V.	ἑκόντες	ἑκοῦσαι	ἑκόντα	μέλανες	μέλαιναι	μέλανα
G.	ἑκόντων	ἑκουσῶν	ἑκόντων	μελάνων	μελαινῶν	μελάνων
D.	ἑκοῦσι	ἑκούσαις	ἑκοῦσι	μέλασι	μελαίναις	μέλασι
A.	ἑκόντας	ἑκούσᾱς	ἑκόντα	μέλανας	μελαίνᾱς	μέλανα

	M.	F.	N.
S. N.	ταχύς	ταχεῖα	ταχύ
G.	ταχέος	ταχείᾱς	ταχέος
D.	ταχεῖ	ταχείᾳ	ταχεῖ
A.	ταχύν	ταχεῖαν	ταχύ
V.	ταχύ	ταχεῖα	ταχύ
D. N. A. V.	ταχέε	ταχείᾱ	ταχέε
G. D.	ταχέοιν	ταχείαιν	ταχέοιν
P. N. V.	ταχεῖς	ταχεῖαι	ταχέα
G.	ταχέων	ταχειῶν	ταχέων
D.	ταχέσι	ταχείαις	ταχέσι
A.	ταχεῖς	ταχείᾱς	ταχέα

512.   CONSONANT DECLENSION

	M. AND F.	N.
S. N.	εὐδαίμων	εὔδαιμον
G.	εὐδαίμονος	εὐδαίμονος
D.	εὐδαίμονι	εὐδαίμονι
A.	εὐδαίμονα	εὔδαιμον
V.	εὔδαιμον	εὔδαιμον
D. N. A. V.	εὐδαίμονε	εὐδαίμονε
G. D.	εὐδαιμόνοιν	εὐδαιμόνοιν
P. N. V.	εὐδαίμονες	εὐδαίμονα
G.	εὐδαιμόνων	εὐδαιμόνων
D.	εὐδαίμοσι	εὐδαίμοσι
A.	εὐδαίμονας	εὐδαίμονα

	M. AND F.		N.	
S. N.		ἀληθής		ἀληθές
G.	(ἀληθέ-ος)	ἀληθοῦς	(ἀληθέ-ος)	ἀληθοῦς
D.	(ἀληθέ-ϊ)	ἀληθεῖ	(ἀληθέ-ϊ)	ἀληθεῖ
A.	(ἀληθέ-α)	ἀληθῆ		ἀληθές
V.		ἀληθές		ἀληθές
D. N. A. V.	(ἀληθέ-ε)	ἀληθεῖ	(ἀληθέ-ε)	ἀληθεῖ
G. D.	(ἀληθέ-οιν)	ἀληθοῖν	(ἀληθέ-οιν)	ἀληθοῖν
P. N. V.	(ἀληθέ-ες)	ἀληθεῖς	(ἀληθέ-α)	ἀληθῆ
G.	(ἀληθέ-ων)	ἀληθῶν	(ἀληθέ-ων)	ἀληθῶν
D.		ἀληθέσι		ἀληθέσι
A.		ἀληθεῖς	(ἀληθέ-α)	ἀληθῆ

	M. AND F.	N.
S. N. V.	ἡδίων	ἥδῑον
G.	ἡδίονος	ἡδίονος
D.	ἡδίονι	ἡδίονι
A.	ἡδίονα, ἡδίω	ἥδῑον
D. N. A. V.	ἡδίονε	ἡδίονε
G. D.	ἡδῑόνοιν	ἡδῑόνοιν
P. N. V.	ἡδίονες, ἡδίους	ἡδίονα, ἡδίω
G.	ἡδῑόνων	ἡδῑόνων
D.	ἡδίοσι	ἡδίοσι
A.	ἡδίονας, ἡδίους	ἡδίονα, ἡδίω

513.   IRREGULAR DECLENSION

	M.	F.	N.	M.	F.	N.
S. N.	μέγας	μεγάλη	μέγα	πολύς	πολλή	πολύ
G.	μεγάλου	μεγάλης	μεγάλου	πολλοῦ	πολλῆς	πολλοῦ
D.	μεγάλῳ	μεγάλῃ	μεγάλῳ	πολλῷ	πολλῇ	πολλῷ
A.	μέγαν	μεγάλην	μέγα	πολύν	πολλήν	πολύ
V.	μεγάλε	μεγάλη	μέγα			
D. N. A. V.	μεγάλω	μεγάλᾱ	μεγάλω			
G. D.	μεγάλοιν	μεγάλαιν	μεγάλοιν			
P. N. V.	μεγάλοι	μεγάλαι	μεγάλα	πολλοί	πολλαί	πολλά
G.	μεγάλων	μεγάλων	μεγάλων	πολλῶν	πολλῶν	πολλῶν
D.	μεγάλοις	μεγάλαις	μεγάλοις	πολλοῖς	πολλαῖς	πολλοῖς
A.	μεγάλους	μεγάλᾱς	μεγάλα	πολλούς	πολλάς	πολλά

THE WALLS OF TIRYNS

The great size of the stones with which Tiryns and Mycenae were fortified may explain the story that it was the work of the Cyclopes, a race of giants.

514. **PARTICIPLES**

(a) PRESENT OF εἰμί AND 2 AORIST OF λείπω

	M.	F.	N.
S. N. V.	ὤν	οὖσα	ὄν
G.	ὄντος	οὔσης	ὄντος
D.	ὄντι	οὔσῃ	ὄντι
A.	ὄντα	οὖσαν	ὄν
D. N. A. V.	ὄντε	οὔσᾱ	ὄντε
G. D.	ὄντοιν	οὔσαιν	ὄντοιν
P. N. V.	ὄντες	οὖσαι	ὄντα
G.	ὄντων	οὐσῶν	ὄντων
D.	οὖσι	οὔσαις	οὖσι
A.	ὄντας	οὔσᾱς	ὄντα

Second aorist active participles are declined like ὤν :

S. N. V.	λιπών	λιποῦσα	λιπόν
G.	λιπόντος	λιπούσης	λιπόντος
		κ.τ.λ.	

(b) PRESENT AND FUTURE OF παύω

S. N. V.	παύων	παύουσα	παῦον
G.	παύοντος	παυούσης	παύοντος
D.	παύοντι	παυούσῃ	παύοντι
A.	παύοντα	παύουσαν	παῦον
D. N. A. V.	παύοντε	παυούσᾱ	παύοντε
G. D.	παύοντοιν	παυούσαιν	παύοντοιν
P. N. V.	παύοντες	παύουσαι	παύοντα
G.	παυόντων	παυουσῶν	παυόντων
D.	παύουσι	παυούσαις	παύουσι
A.	παύοντας	παυούσᾱς	παύοντα

Future active participles are declined like παύων :

S. N. V.	παύσων	παύσουσα	παῦσον
G.	παύσοντος	παυσούσης	παύσοντος
		κ.τ.λ.	

PARTICIPLES (*continued*)

(c)
AORIST ACTIVE OF παύω

		M.	F.	N.
S.	N. V.	παύσᾱς	παύσᾱσα	παῦσαν
	G.	παύσαντος	παυσάσης	παύσαντος
	D.	παύσαντι	παυσάσῃ	παύσαντι
	A.	παύσαντα	παύσᾱσαν	παῖσαν
D.	N. A. V.	παύσαντε	παυσάσᾱ	παύσαντε
	G. D.	παυσάντοιν	παυσάσαιν	παυσάντοιν
P.	N. V.	παύσαντες	παύσᾱσαι	παύσαντα
	G.	παυσάντων	παυσᾱσῶν	παυσάντων
	D.	παύσᾱσι	παυσάσαις	παύσᾱσι
	A.	παύσαντας	παυσάσᾱς	παύσαντα

(d)
PERFECT ACTIVE OF παύω

		M.	F.	N.
S.	N. V.	πεπαυκώς	πεπαυκυῖα	πεπαυκός
	G.	πεπαυκότος	πεπαυκυίᾱς	πεπαυκότος
	D.	πεπαυκότι	πεπαυκυίᾳ	πεπαυκότι
	A.	πεπαυκότα	πεπαυκυῖαν	πεπαυκός
D.	N. A. V.	πεπαυκότε	πεπαυκυίᾱ	πεπαυκότε
	G. D.	πεπαυκότοιν	πεπαυκυίαιν	πεπαυκότοιν
P.	N. V.	πεπαυκότες	πεπαυκυῖαι	πεπαυκότα
	G.	πεπαυκότων	πεπαυκυιῶν	πεπαυκότων
	D.	πεπαυκόσι	πεπαυκυίαις	πεπαυκόσι
	A.	πεπαυκότας	πεπαυκυίᾱς	πεπαυκότα

(e)
AORIST PASSIVE OF παύω

		M.	F.	N.
S.	N. V.	παυθείς [1]	παυθεῖσα	παυθέν
	G.	παυθέντος	παυθείσης	παυθέντος
	D.	παυθέντι	παυθείσῃ	παυθέντι
	A.	παυθέντα	παυθεῖσαν	παυθέν
D.	N. A. V.	παυθέντε	παυθείσᾱ	παυθέντε
	G. D.	παυθέντοιν	παυθείσαιν	παυθέντοιν
P.	N. V.	παυθέντες	παυθεῖσαι	παυθέντα
	G.	παυθέντων	παυθεισῶν	παυθέντων
	D.	παυθεῖσι	παυθείσαις	παυθεῖσι
	A.	παυθέντας	παυθείσᾱς	παυθέντα

---

[1] τιθείς is declined like παυθείς.

PARTICIPLES (*continued*)

(*f*)   PRESENT ACTIVE OF **MI**-VERBS

ἵστημι

	M.	F.	N.
S. N. V.	ἱστάς	ἱστᾶσα	ἱστάν
G.	ἱστάντος	ἱστάσης	ἱστάντος
D.	ἱστάντι	ἱστάσῃ	ἱστάντι
A.	ἱστάντα	ἱστᾶσαν	ἱστάν
D. N. A. V.	ἱστάντε	ἱστάσᾱ	ἱστάντε
G. D.	ἱστάντοιν	ἱστάσαιν	ἱστάντοιν
P. N. V.	ἱστάντες	ἱστᾶσαι	ἱστάντα
G.	ἱστάντων	ἱστᾱσῶν	ἱστάντων
D.	ἱστᾶσι	ἱστάσαις	ἱστᾶσι
A.	ἱστάντας	ἱστάσᾱς	ἱστάντα

δείκνῡμι

	M.	F.	N.
S. N. V.	δεικνύς	δεικνῦσα	δεικνύν
G.	δεικνύντος	δεικνύσης	δεικνύντος
D.	δεικνύντι	δεικνύσῃ	δεικνύντι
A.	δεικνύντα	δεικνῦσαν	δεικνύν
D. N. A. V.	δεικνύντε	δεικνύσᾱ	δεικνύντε
G. D.	δεικνύντοιν	δεικνύσαιν	δεικνύντοιν
P. N. V.	δεικνύντες	δεικνῦσαι	δεικνύντα
G.	δεικνύντων	δεικνῡσῶν	δεικνύντων
D.	δεικνῦσι	δεικνύσαις	δεικνῦσι
A.	δεικνύντας	δεικνύσᾱς	δεικνύντα

δίδωμι

	M.	F.	N.
S. N. V.	διδούς	διδοῦσα	διδόν
G.	διδόντος	διδούσης	διδόντος
D.	διδόντι	διδούσῃ	διδόντι
A.	διδόντα	διδοῦσαν	διδόν
D. N. A. V.	διδόντε	διδούσᾱ	διδόντε
G. D.	διδόντοιν	διδούσαιν	διδόντοιν
P. N. V.	διδόντες	διδοῦσαι	διδόντα
G.	διδόντων	διδουσῶν	διδόντων
D.	διδοῦσι	διδούσαις	διδοῦσι
A.	διδόντας	διδούσᾱς	διδόντα

PARTICIPLES (*continued*)

(*g*) PRESENT ACTIVE OF CONTRACT VERBS

τῑμάω

	M.	F.	N.
S. N. V.	τῑμῶν	τῑμῶσα	τῑμῶν
	(τῑμάων)	(τῑμάουσα)	(τῑμάον)
G.	τῑμῶντος	τῑμώσης	τῑμῶντος
	(τῑμάοντος)	(τῑμαούσης)	(τῑμάοντος)
D.	τῑμῶντι	τῑμώσῃ	τῑμῶντι
	(τῑμάοντι)	(τῑμαούσῃ)	(τῑμάοντι)
A.	τῑμῶντα	τῑμῶσαν	τῑμῶν
	(τῑμάοντα)	(τῑμάουσαν)	(τῑμάον)
D. N. A. V.	τῑμῶντε	τῑμώσᾱ	τῑμῶντε
	(τῑμάοντε)	(τῑμαούσᾱ)	(τῑμάοντε)
G. D.	τῑμώντοιν	τῑμώσαιν	τῑμώντοιν
	(τῑμαόντοιν)	(τῑμαούσαιν)	(τιμαόντοιν)
P. N. V.	τῑμῶντες	τῑμῶσαι	τῑμῶντα
	(τῑμάοντες)	(τῑμάουσαι)	(τῑμάοντα)
G.	τῑμώντων	τῑμωσῶν	τῑμώντων
	(τῑμαόντων)	(τῑμαουσῶν)	(τῑμαόντων)
D.	τῑμῶσι	τῑμώσαις	τῑμῶσι
	(τῑμάουσι)	(τῑμαούσαις)	(τῑμάουσι)
A.	τῑμῶντας	τῑμώσᾱς	τῑμῶντα
	(τῑμάοντας)	(τῑμαούσᾱς)	(τῑμάοντα)

φιλέω

	M.	F.	N.
S. N. V.	φιλῶν	φιλοῦσα	φιλοῦν
	(φιλέων)	(φιλέουσα)	(φιλέον)
G.	φιλοῦντος	φιλούσης	φιλοῦντος
	(φιλέοντος)	(φιλεούσης)	(φιλέοντος)
D.	φιλοῦντι	φιλούσῃ	φιλοῦντι
	(φιλέοντι)	(φιλεούσῃ)	(φιλέοντι)
A.	φιλοῦντα	φιλοῦσαν	φιλοῦν
	(φιλέοντα)	(φιλέουσαν)	(φιλέον)
D. N. A. V.	φιλοῦντε	φιλούσᾱ	φιλοῦντε
	(φιλέοντε)	(φιλεούσᾱ)	(φιλέοντε)
G. D.	φιλούντοιν	φιλούσαιν	φιλούντοιν
	(φιλεόντοιν)	(φιλεούσαιν)	(φιλεόντοιν)

φιλέω (*continued*)

	M.	F.	N.
P. N. V.	φιλοῦντες	φιλοῦσαι	φιλοῦντα
	(φιλέοντες)	(φιλέουσαι)	(φιλέοντα)
G.	φιλούντων	φιλουσῶν	φιλούντων
	(φιλεόντων)	(φιλεουσῶν)	(φιλεόντων)
D.	φιλοῦσι	φιλούσαις	φιλοῦσι
	(φιλέουσι)	(φιλεούσαις)	(φιλέουσι)
